Öklid'in Öğelerinin 13 Kitabından Birinci Kitap

Öğelerin 13 Kitabından Birinci Kitap

Öklid'in Yunanca metni ile
Özer Öztürk & David Pierce'in çevirdiği Türkçesi
ve David Pierce'in yazdığı alıştırmalar

Düzeltilmiş 5. baskı
Eylül 2015

Matematik Bölümü
Mimar Sinan Güzel Sanatlar Üniversitesi
İstanbul
http://mat.msgsu.edu.tr/

ozer.ozturk@msgsu.edu.tr dpierce@msgsu.edu.tr

4. Baskının Önsözü

Bu kitapta, Öklid'in *Öğeler*'inin birinci kitabının orijinal Yunanca metni ve paralel Türkçe çeviri birlikte sunulmuştur. Kitabımız, Mimar Sinan Güzel Sanatlar Üniversitesi'nin Matematik Bölümü'nde bir birinci sınıf lisans dersi için hazırlanmıştır.

Kitabın birinci baskısı, 2011 Güz döneminde, ve ikinci baskısı, 2012 Güz döneminde kullanılmış ve fark edilen hatalar düzeltilmiştir.

İlk dersin öğretmenleri, Özer Öztürk ve David Pierce oldu; sonraki dersin öğretmenleri, Ahmet Bakkaloğlu, Ayhan Günaydın, Özer Öztürk ve David Pierce oldu; üçüncü dersin öğretmenleri, Feza Arslan, Özgür Martin, Şafak Özden ve David Pierce oldu.

Kitabın ilk iki baskısında, İngilizce çevirisi de vardı. Üçüncü baskıya İngilizce çeviriyi almadık.

Bu dördüncü baskıya alıştırmalar ekledik. Bu alıştırmaların daha erken versiyonunu düzelttiği için Selma Başıbüyük'e teşekkür ederiz.

Buradaki Yunanca metin, Heiberg'indir [4]. Kitabının kopyası, internet'te bulunabilir, mesela Wilbour Hall[1] ve European Cultural Heritage Online (ECHO)[2] sitelerinde. Aslında LaTeX elektronik dosyamız için Fitzpatrick'in LaTeX kaynağını [7] kullanmıştık. Ama Fitzpatrick'in dosyasındaki metni Heiberg'in kitabından nasıl aldığını bilmiyoruz, ve bu metinde birkaç hatalar fark ettik (sayfa 11'e bakınız). Bu hatalar, Project Perseus sitesinde bulunmamaktadır.[3]

Project Perseus sitesinden çok faydalandık. Güler Çelgin'in [2] sözlüğü de yararlıydı. Kullandığımız Yunanca font, Greek Font Society (Yunan Font Derneği) tarafından sağlanan "NeoHellenic" fontudur.

[1] http://www.wilbourhall.org
[2] http://echo.mpiwg-berlin.mpg.de/home
[3] http://www.perseus.tufts.edu/

İçindekiler

Giriş

Bildiğimiz kadarı ile, aşağı yukarı bir yüzyıl önceye kadar, en azından Dünyanın Hristiyan ve Müslüman yerlerinde, her matematikci matematiği Öklid'den öğrendi. Bizce matematik öğrencileri, hâlâ Öklid'i okumalılardır. *Öğeler* eseri, dünyanın ilk matematik dizgesidir.

Her kitap gibi, Öklid'in *Öğeler*'i mükkemel olmayabilir. Yapısında hatalar varsa, öğrenci onları düzelterek öğrensin. Bugünkü "analitik" geometri ders kitapları, mantık açısından düzensiz olabilir, ama *Öğeler*'in birinci kitabının yardımıyla düzeltilebilir.

Metnimiz

Öklid'in *Öğeler*'inin birinci kitabı, burada iki sütun halinde sunuluyor: sol sütunda orijinal Yunanca metin, ve sağında bir Türkçe çevirisi yer alıyor.

Öklid'in *Öğeler*'i, her biri **önermelere** bölünmüş olan 13 kitaptan oluşur. Bazı kitaplarda **tanımlar** da vardır. Birinci kitap ayrıca **postülatları** ve **ortak kavramları** da içerir. Bu baskıda Yunanca metnin her önermesinin her cümlesi öyle birimlere bölünmüştür ki

1) (hemen hemen) her birim bir satıra sığar,
2) her birim cümle içinde bir rol oynar,
3) her birimin tam Türkçe çevirisi vardır.

Her birimin çevirisi, orijinalinin yanında yer alır. Bazen ortaya çıkan Türkçe cümleler, biraz tuhaf gelebilir. Bu durumda, daha akıcı ifadeler bulmak okuyucuya bırakılmıştır.

Öğeler'in her önermesinin yanında, çoğu noktanın (ve bazı çizgilerin) harflerle isimlendirildiği, bir çizgi ve noktalar resmi yer alır. Bu resim **harfli diagramdır**. Her önermede diagramı kelimelerin *sonuna* yerleştiriyoruz. Reviel Netz'e göre orijinal ruloda diagram burada yer alırdı ve böylece okuyan önermeyi okumak için ruloyu ne kadar açması gerektiğini bilirdi [9, p. 35, n. 55]. Bu baskıda bir önerme iki sayfaya sığmazsa, diagramı tekrarlanır.

Öklid'in yazdıkları, çeşitli süzgeçlerden geçerek bize ulaşmıştır. *Öğeler*'in M.Ö. 300 civarında yazılmış olması gerekir. Bizim kullandığımız 1883'te yayınlanan Heiberg [4] versiyonu, 10. yüzyılda yazılmış ve Vatikan'da bulunmuş bir elyazmasına dayanmaktadır.

Dili ve alfabesi

Öklid'in kullandığı dil, Antik Yunancadır. Bu dil, İngilizce ve Farsça gibi, Hint-Avrupa dilleri ailesindendir. Türkçe, bu aileden değildir; fakat bazı yönlerden Türkçe, Yunancaya, İngilizceden daha yakındır. Örneğin Türkçe ve Yunanca, adlar ve fiiller çeker. İngilizce ve Türkçenin günümüz bilimsel terminolojisinin kökleri genellikle Yunancadır.

Yunan alfabesinin sayfa 12'de verilen 24 harfini ezberlemenizi tavsiye ederiz. Bu kitapta her önermenin sadece bir diagramı vardır, ve harfleri Yunan alfabesinden alınmıştır. Matematikçiler, bu harfleri her zaman kullanırlar.

Öğelerin ve önermelerinin analizi

Öğeler'in her önermesi bir **problem** veya bir **teorem** olarak anlaşılabilir. M.S. 320 civarında (yani Öklid'den 6 yüzyıl sonra) yazan İskenderiyeli Pappos bu ayrımı aşağıdaki gibi tarif ediyor:[4]

Οἱ τὰ ἐν γεωμετρίᾳ ζητούμενα βουλόμενοι τεχνικώτερον διακρίνειν, **πρόβλημα** μὲν ἀξιοῦσι καλεῖν ἐφ' οὗ *προβάλλεταί* τι ποιῆσαι καὶ κατασκευάσαι,	Geometri araştırmalarında daha usta bir ayrıştırma yapmak isteyenler, bir şeyin yapılmasını veya inşa edilmesini *öneren* bir [önerme]ye **problem** demeyi uygun görüyorlar,
θεώρημα δὲ ἐν ᾧ τινῶν ὑποκειμένων τὸ ἑπόμενον αὐτοῖς καὶ πάντως ἐπισυμβαῖνον *θεωρεῖται,*	ve belirli varsayımların eşitliklerinin ve zorunlu sonuçlarının incelendiği bir [önerme]ye, **teorem** [demeyi uygun görüyorlar];
τῶν παλαιῶν τῶν μὲν προβλήματα πάντα, τῶν δὲ θεωρήματα εἶναι φασκόντων.	ama antiklerin bazıları [önermelerin] tümünün problem, bazıları da teorem olduğunu söylemiştir.

[4]Pappos'tan yapılan alıntı, onun *Toplama* eserinin üçüncü kitabının [10, s. 30] girişinden alınmıştır. Alıntı, [14, pp. 566–567] kaynağında da bulunabilir.

Bir problem bir şey yapmayı önerir; bir teorem bir şey inceler. Pappos, *problem* ve *teorem* kelimelerinin etimolojisini anıştırıyor:

πρόβλημα	problem	θεώρημα	teorem
προβαλλ-	öner-	θεωρε-	incele-

Bizim *önerme* sözcüğümüz, Yunanca'da bulunmamaktadır, ama etimoloji açısından πρόβλημα adı gibidir. Yunan θεωρε- fiili, anlamı "bak-" olan θεα- fiilinden türenmiştir. Bu son fiilden θέατρον "tiyatro" gelmiştir.

İster bir problem, ister bir teorem olsun, bir önermenin metni altı parçaya kadar ayrılıp analiz edilebilir. M.S. beşinci yüzyılda (yani Öklid'den 7 yüzyıl sonra) Proklos bu parçaları ve bu analizi anlatmıştır:[5]

πᾶν δὲ πρόβλημα καὶ πᾶν θεώρημα τὸ ἐκ τελείων τῶν ἑαυτοῦ μερῶν συμπεπληρωμένον βούλεται πάντα ταῦτα ἔχειν ἐν ἑαυτῷ· [i] *πρότασιν,* [ii] *ἔκθεσιν,* [iii] *διορισμόν,* [iv] *κατασκευήν,* [v] *ἀπόδειξιν,* [vi] *συμπέρασμα.*	Bütün parçalarıyla donatılmış her problem ve her teorem aşağıdaki tüm parçaları içermek ister: (1) *bildirme,* (2) *açıklama,* (3) *belirtme,* (4) *düzenleme,* (5) *gösterme,* ve (6) *bitirme.*
τούτων δὲ	Bunlardan da:
ἡ μὲν **πρότασις** λέγει, τίνος δεδομένου τί τὸ ζητούμενόν ἐστιν.	1. **Bildirme,** hangi verilenden hangi [sonucun] arandığını söyler.
ἡ γὰρ τελεία πρότασις ἐξ ἀμφοτέρων ἐστίν.	Zira tam bir bildirme, bu iki parçanın ikisini de içerir.
ἡ δ' **ἔκθεσις** αὐτὸ καθ' αὑτὸ τὸ δοδεμένον ἀποδιαλαβοῦσα προευτρεπίζει τῇ ζητήσει.	2. **Açıklama,** verileni ayrıca ele alarak bunu araştırmada kullanmak üzere hazırlar.
ὁ δὲ **διορισμὸς** χωρὶς τὸ ζητούμενον, ὅτι ποτέ ἐστιν, διασαφεῖ.	3. **Belirtme,** arananın ayrıca ne olduğunu net bir şekilde gösterir.
ἡ δὲ **κατασκευὴ** τὰ ἐλλείποντα τῷ δεδομένῳ πρὸς τὴν τοῦ ζητουμένου θήραν προστίθησιν.	4. **Düzenleme,** arananı avlamak için verilendeki eksikleri yerleşmiştir.
ἡ δὲ **ἀπόδειξις** ἐπιστημονικῶς ἀπὸ τῶν ὁμολογηθέντων συνάγει τὸ προκείμενον.	5. **Gösterme,** [elimizde] bulunanları bilimsel olarak kabul edilen [ilkeler]e göre birleştirir.
τὸ δὲ **συμπέρασμα** πάλιν ἐπὶ τὴν πρότασιν	6. **Bitirme,** gösterilmiş olanı onayla-

[5]Verilen alıntının Yunancası, [11, s. 203] kaynağından alınmıştır. Bu kitabın İngilizce [12] çevirisi vardır. Verilen alıntının İngilizcesi, [6, s. xxiii] bulunmuştur. Proklos Bizans (şimdi İstanbul) doğumludur, ama aslında Likyalıdır, ve ilk eğitimini Ksantos'ta almıştır. Felsefe öğrenmek için İskenderiye'ye ve sonra da Atina'ya gitmiştir [12, s. xxxix].

ἀναστρέφει βεβαιοῦν τὸ δεδειγμένον.	yarak bildirmeye geri döner.
καὶ τὰ μὲν σύμπαντα μέρη τῶν τε προβλημάτων καὶ τῶν θεωρημάτων ἐστὶ τοσαῦτα·	Bunlar, problemlerin ve teoremlerin bütün parçalarıdır.
τὰ δὲ ἀναγκαιότατα καὶ ἐν πᾶσιν ὑπάρχοντα πρότασις καὶ ἀπόδειξις καὶ συμπέρασμα.	En zorunlu olan ve her [önerme]de bulunan [parçalar], bildirme, gösterme, ve bitirmedir.

Biz de Proklos'un analizini aşağıdaki anlamıyla kullanacağız:

Bildirme, bir önermenin, harfli diagrama gönderme yapmayan, genel beyanıdır. Bu beyan, bir doğru veya üçgen gibi bir nesne hakkındadır.

Açıklama, bu nesneyi harfler aracılığıyla diagramda işaret eder. Bu nesnenin varlığı üçüncü tekil emir kipinde bir fiil ile oluşturulur. (Bazen düzenlemeninki gibi açıklamanın ikinci kelimesi γάρ olur.)

Belirtme,

(a) bir *problemde*, nesne ile ilgili ne yapılacağını söyler ve δεῖ δὴ kelimeleriyle başlar (burada δεῖ, "gereklidir", δή ise "o halde" anlamındadır);
(b) bir *teoremde,* nesneyle ilgili neyin ispatlanacağını söyler ve "diyorum ki" anlamına gelen λέγω ὅτι kelimeleriyle başlar. Aynı ifade, bir problemde de belirtmeye ek olarak, göstermenin başında ve düzenlemenin sonunda görülebilir.

Düzenleme varsa, ikinci kelimesi γάρ olur. Bu kelime, onaylayıcı bir zarf ve sebep belirten bir bağlaçtır. Bunu "zira" olarak çevirdik ve cümlenin birinci kelimesi yaptık.

Gösterme, genellikle ἐπεί ("çünkü, olduğundan") ilgeciyle başlar.

Bitirme, bildirmeyi tekrarlar ve genellikle ἄρα ("böylece") ilgecini içerir. Tekrarlanan bildirmeden sonra bitirme aşağıdaki iki kalıptan biriyle sonlanır:

(a) ὅπερ ἔδει ποιῆσαι "yapılması gereken tam buydu" (problemlerde; Latincesi *quod erat faciendum* veya QEF);
(b) ὅπερ ἔδει δεῖξαι "gösterilmesi gereken tam buydu" (teoremlerde; Latincesi *quod erat demonstrandum* veya QED).

	Fitzpatrick				Heiberg	
Önerme	satır	sayfa			sayfa	satır
5 (ε′)	ilk	11	τρὸς	πρὸς	20	2
17 (ιζ′)	2	21	πάντῇ	πάντῃ	44	10
17 (ιζ′)	son	22	πάντῇ	πάντῃ	44	24
36 (λς′)			δὶα	διὰ	88	4
36 (λζ′)			δὶα	διὰ	88	20
38 (λη′)	7	39	δὶα	διὰ	90	17

Fitzpatrick’in metnindeki bulduğumuz hatalar (önsöze bakınız)

Yunan alfabesi

büyük	küçük	okunuş	isim
Α	α	a	alfa
Β	β	b	beta
Γ	γ	g	gamma
Δ	δ	d	delta
Ε	ε	e (kısa)	epsilon
Ζ	ζ	z (ds)	zeta
Η	η	ê (uzun e)	eta
Θ	θ	th	theta
Ι	ι	i	iota (yota)
Κ	κ	k	kappa
Λ	λ	l	lambda
Μ	μ	m	mü
Ν	ν	n	nü
Ξ	ξ	ks	ksi
Ο	ο	o (kısa)	omikron
Π	π	p	pi
Ρ	ρ	r	rho (ro)
Σ	σ, ς	s	sigma
Τ	τ	t	tau
Υ	υ	y, ü	üpsilon
Φ	φ	f	phi
Χ	χ	h (kh)	khi
Ψ	ψ	ps	psi
Ω	ω	ô (uzun o)	omega

Ὅροι // Hudutlar

Σημεῖόν ἐστιν,
οὗ μέρος οὐθέν.

[1] Bir **nokta,**
hiçbir parçası olmayandır.

Γραμμὴ δὲ
μῆκος ἀπλατές.

[2] Ve bir **çizgi,**
genişliksiz uzunluktur.

Γραμμῆς δὲ
πέρατα σημεῖα.

[3] Ve bir çizginin
sınırları, noktadır.

Εὐθεῖα γραμμή ἐστιν,
ἥτις ἐξ ἴσου
τοῖς ἐφ᾽ ἑαυτῆς σημείοις
κεῖται.

[4] Bir **doğru** çizgi,
eşit olarak
üzerindeki noktalara göre
oturandır.[6]

Ἐπιφάνεια δέ ἐστιν,
ὃ μῆκος καὶ πλάτος μόνον
ἔχει.

[5] Ve bir **yüzey,**
sadece uzunluğu ve genişliği
olandır.

Ἐπιφανείας δὲ
πέρατα γραμμαί.

[6] Ve bir yüzeyin
sınırları, çizgidir.

Ἐπίπεδος ἐπιφάνειά ἐστιν,
ἥτις ἐξ ἴσου
ταῖς ἐφ᾽ ἑαυτῆς εὐθείαις
κεῖται.

[7] Bir **düzlem** yüzeyi,
eşit olarak
üzerindeki doğrulara göre
oturandır.

---

[6] Lucio Russo'ya [13, s. 322–4] göre bu tanım ve buradaki başka tanımlar, *Heron'un Tanımları* (*Heronis Definitiones*) adlı kitabından Öklid'in *Öğeler*'ine eklenmiştir. *Heron'un Tanımları*'nda Εὐθεῖα μὲν οὖν γραμμή ἐστιν ἥτις ἐξ ἴσου τοῖς ἐπ᾽ αὐτῆς σημείοις κεῖται ὀρθὴ οὖσα καὶ οἷον ἐπ᾽ ἄκρον τεταμένη ἐπὶ τὰ πέρατα "Bir doğru çizgi, eşit olarak üzerindeki noktalara göre düz ve uçlarından en fazla gerilmiş oturandır" (*A straight line is a line that equally with respect to [all] points on itself lies straight and maximally taught between its extremities*) metni bulunmuştur.

Ἐπίπεδος δὲ γωνία ἐστὶν
ἡ ἐν ἐπιπέδῳ
δύο γραμμῶν ἁπτομένων ἀλλήλων
καὶ μὴ ἐπ᾽ εὐθείας κειμένων
πρὸς ἀλλήλας τῶν γραμμῶν
κλίσις.

[8] Ve bir **düzlem açısı,**
bir düzlemde
iki çizgi birbirine dokununca
ve bir doğru üzerinde oturmayınca
çizgilerin birbirine göre
eğimidir.

Ὅταν δὲ αἱ περιέχουσαι τὴν γωνίαν
γραμμαὶ
εὐθεῖαι ὦσιν,
εὐθύγραμμος καλεῖται ἡ γωνία.

[9] Ve ne zaman açıyı içeren
çizgiler
doğru olursa
açıya **düzkenar** denir.

Ὅταν δὲ εὐθεῖα
ἐπ᾽ εὐθεῖαν σταθεῖσα
τὰς ἐφεξῆς γωνίας
ἴσας ἀλλήλαις ποιῇ,
ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστι,
καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα
κάθετος καλεῖται,
ἐφ᾽ ἣν ἐφέστηκεν.

[10] Ve ne zaman bir doğru,
bir doğrunun üzerine dikilmiş,
bitişik açıları
birbirine eşit yaparsa,
eşit açıların her biri, **diktir,**
ve dikilmiş doğruya
dikey denir
üzerine dikildigi [doğru]ya.[7]

Ἀμβλεῖα γωνία ἐστὶν
ἡ μείζων ὀρθῆς.

[11] Bir **geniş açı,**
dik [açı]dan büyük olandır.[8]

Ὀξεῖα δὲ
ἡ ἐλάσσων ὀρθῆς.

[12] Ve bir **dar açı,**
dik [açı]dan küçük olandır.

Ὅρος ἐστίν,
ὅ τινός ἐστι πέρας.

[13] Bir **hudut,**
herhangi bir şeyin sınırı olandır.

Σχῆμά ἐστι
τὸ ὑπό τινος ἤ τινων ὅρων
περιεχόμενον.

[14] Bir **figür,**
bir hudut veya hudutlar tarafından
içerilendir.

[7] Bu tanım, 11. ve 12. önermelerde alıntılanır.
[8] Atatürk'ün *Geometri* kitabına [1, ¶37, s. 15] göre öyle bir açı, **oput açıdır.**

Κύκλος ἐστὶ	[15] Bir **daire,**
σχῆμα ἐπίπεδον	düzlemdeki bir figürdür
ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον	bir çizgice içerilen
[ἣ καλεῖται περιφέρεια],	[bu çizgiye **çevre** denir]
πρὸς ἣν	öyle ki [bu çizginin üzerine]
ἀφ᾽ ἑνὸς σημείου	bir noktasından
τῶν ἐντὸς τοῦ σχήματος κειμένων	(figürün içerisinde oturan noktaların)
πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι	tüm düşen doğrular,
[πρὸς τὴν τοῦ κύκλου περιφέρειαν]	[çevrenin üzerine]
ἴσαι ἀλλήλαις εἰσίν.	birbirine eşittir.
Κέντρον δὲ τοῦ κύκλου	[16] Ve dairenin **merkezi**
τὸ σημεῖον καλεῖται.	denir o noktaya.
Διάμετρος δὲ τοῦ κύκλου ἐστὶν	[17] Ve bir dairenin bir **çapı,**
εὐθεῖά τις	herhangi bir doğrudur
διὰ τοῦ κέντρου ἠγμένη	dairenin merkezinden ilerletilmiş
καὶ περατουμένη	ve sınırlandırılan
ἐφ᾽ ἑκάτερα τὰ μέρη	her iki tarafta
ὑπὸ τῆς τοῦ κύκλου περιφερείας,	dairenin çevresi tarafından;
ἥτις καὶ	ve [böyle bir doğru,]
δίχα τέμνει τὸν κύκλον.	daireyi ikiye böler.
Ἡμικύκλιον δέ ἐστι	[18] Bir **yarıdaire,**
τὸ περιεχόμενον σχῆμα	içerilen figürdür
ὑπό τε τῆς διαμέτρου	hem bir çap
καὶ τῆς ἀπολαμβανομένης ὑπ᾽ αὐτῆς	hem onun ayırdığı
περιφερείας.	çevre tarafından.
κέντρον δὲ τοῦ ἡμικυκλίου τὸ αὐτό,	Ve yarıdairenin merkezi aynıdır
ὃ καὶ τοῦ κύκλου ἐστίν.	daireninkiyle.
Σχήματα εὐθύγραμμά ἐστι	[19] **Düzkenar figürler,**
τὰ ὑπὸ εὐθειῶν περιεχόμενα,	doğrularca içerilendir:
τρίπλευρα μὲν τὰ ὑπὸ τριῶν,	**üçkenar** figürler üç,
τετράπλευρα δὲ τὰ ὑπὸ τεσσάρων,	**dörtkenar** figürler de dört,
πολύπλευρα δὲ	**çokkenar** figürler de
τὰ ὑπὸ πλειόνων ἢ τεσσάρων	dörtten daha fazla

εὐθειῶν περιεχόμενα.	doğruca içerilendir.
Τῶν δὲ τριπλεύρων σχημάτων	[20] Ve üçkenar figürlerden
ἰσόπλευρον μὲν τρίγωνόν ἐστι	**eşkenar** üçgen,
τὸ τὰς τρεῖς ἴσας ἔχον πλευράς,	üç eşit kenarı olan;
ἰσοσκελὲς δὲ	**ikizkenar** da,
τὸ τὰς δύο μόνας ἴσας ἔχον πλευράς,	sadece iki eşit kenarı olan;
σκαληνὸν δὲ	**çeşitkenar** da,
τὸ τὰς τρεῖς ἀνίσους ἔχον πλευράς.	üç eşit olmayan kenarı olandır.
Ἔτι δὲ τῶν τριπλεύρων σχημάτων	[21] Ve ayrıca, üçkenar figürlerden,
ὀρθογώνιον μὲν τρίγωνόν ἐστι	**dik [açılı]** üçgen,
τὸ ἔχον ὀρθὴν γωνίαν,	bir dik açısı olan;
ἀμβλυγώνιον δὲ	**geniş açılı** da,
τὸ ἔχον ἀμβλεῖαν γωνίαν,	bir geniş açısı olan;
ὀξυγώνιον δὲ	**dar açılı** da,
τὸ τὰς τρεῖς ὀξείας ἔχον γωνίας.	üç dar açısı olandır.
Τῶν δὲ τετραπλεύρων σχημάτων	[22] Ve dörtkenar figürlerden
τετράγωνον μέν ἐστιν,	**kare,**
ὃ ἰσόπλευρόν τέ ἐστι	hem eşkenar olan
καὶ ὀρθογώνιον,	hem dik;
ἑτερόμηκες δέ,	**dikdörtgen** de
ὃ ὀρθογώνιον μέν,	dik olan
οὐκ ἰσόπλευρον δέ,	ama eşkenar olmayan;
ῥόμβος δέ,	**romb**[9] da,
ὃ ἰσόπλευρον μέν,	eşkenar olan
οὐκ ὀρθογώνιον δέ,	ama dik olmayan;
ῥομβοειδὲς δὲ	**romboid** de
τὸ τὰς ἀπεναντίον πλευράς	hem karşılıklı kenar
τε καὶ γωνίας ἴσας ἀλλήλαις ἔχον,	hem açıları eşit olan
ὃ οὔτε ἰσόπλευρόν ἐστιν	ama ne eşkenar
οὔτε ὀρθογώνιον·	ne dik olandır.
τὰ δὲ παρὰ ταῦτα	Ve bunların dışında kalan
τετράπλευρα	dörtkenarlara

τραπέζια καλείσθω.

trapezion[10] denilsin.

Παράλληλοί εἰσιν εὐθεῖαι,
αἵτινες ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι
καὶ ἐκβαλλόμεναι εἰς ἄπειρον
ἐφ᾽ ἑκάτερα τὰ μέρη
ἐπὶ μηδέτερα
συμπίπτουσιν ἀλλήλαις.

[23] **Paraleldir** doğrular,
aynı düzlemde bulunan
ve sonsuza uzatılınca
her iki tarafta,
hiçbir tarafta
çarpışmayan.

---

[9] Yani *eşkenar dörtgen.*

[10] *Romb* ve *romboid* terimleri, önermelerde kullanılmaz. *Trapezion* terimi, 35. önermede, yamuk için kullanılır.

Αἰτήματα // Postulatlar

Ἠιτήσθω ἀπὸ παντὸς σημείου ἐπὶ πᾶν σημεῖον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.	[Postulat olarak] rica edilmiş olsun: [1] herhangi bir noktadan herhangi bir noktaya bir doğru çizgi ilerletmek.
καὶ πεπερασμένην εὐθεῖαν κατὰ τὸ συνεχὲς ἐπ᾽ εὐθείας ἐκβαλεῖν.	[2] Ve sınırlanmış bir doğruyu kesiksiz şekilde bir doğruda uzatmak.
καὶ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον γράφεσθαι.	[3] Ve her merkez ve uzunluğa bir daire çizmek.
καὶ πάσας τὰς ὀρθὰς γωνίας ἴσας ἀλλήλαις εἶναι.	[4] Ve bütün dik açıların birbirine eşit olduğu.
καὶ ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας δύο ὀρθῶν ἐλάσσονας ποιῇ, ἐκβαλλομένας τὰς δύο εὐθείας ἐπ᾽ ἄπειρον συμπίπτειν, ἐφ᾽ ἃ μέρη εἰσὶν αἱ τῶν δύο ὀρθῶν ἐλάσσονες.	[5] Ve eğer iki doğrunun üzerine düşen bir doğru aynı tarafta oluşturduğu iç açıları iki dik açıdan küçük yaparsa, uzatıldıklarında bu iki doğrunun sınırsızca çarpışacağı, açıların iki dik açıdan küçük olduğu tarafta.

Κοιναὶ ἔννοιαι // Ortak kavramlar[11]

Τὰ τῷ αὐτῷ ἴσα
καὶ ἀλλήλοις ἐστὶν ἴσα.

[1] Aynı şeye eşitler
birbirine de eşittir.[12]

καὶ ἐὰν ἴσοις
ἴσα προστεθῇ,
τὰ ὅλα ἐστὶν ἴσα.

[2] Ve eğer eşitlere
eşitler eklenirse,
bütünler eşittir.

καὶ ἐὰν ἀπὸ ἴσων
ἴσα ἀφαιρεθῇ,
τὰ καταλειπόμενά ἐστιν ἴσα.

[3] Ve eğer eşitlerden
eşitler ayrılırsa,
kalanlar eşittir.

καὶ τὰ ἐφαρμόζοντα ἐπ᾽ ἀλλήλα
ἴσα ἀλλήλοις ἐστίν.

[4] Ve birbirine uygulayan[13] şeyler
birbirine eşittir.

καὶ τὸ ὅλον
τοῦ μέρους μεῖζόν [ἐστιν].

[5] Ve bütün,
parçadan büyüktür.

[11] *Ortak kavram* adının yerine *aksiyom* kullanılabilir.
[12] Bu cümle, 1., 2., ve 13. önermelerde alıntılanır.
[13] Veya *birbiriyle çakışan.*

Önermeler

1. Önerme

Ἐπὶ τῆς δοθείσης εὐθείας πεπερασμένης τρίγωνον ἰσόπλευρον συστήσασθαι.	Verilmiş sınırlanmış doğrunun üzerinde eşkenar üçgen inşa etmek.
Ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ.	Olsun verilmiş sınırlanmış doğru ΑΒ.
Δεῖ δὴ ἐπὶ τῆς ΑΒ εὐθείας τρίγωνον ἰσόπλευρον συστήσασθαι.	O halde gereklidir ΑΒ doğrusuna eşkenar üçgen inşa etmek.
Κέντρῳ μὲν τῷ Α διαστήματι δὲ τῷ ΑΒ κύκλος γεγράφθω ὁ ΒΓΔ, καὶ πάλιν κέντρῳ μὲν τῷ Β διαστήματι δὲ τῷ ΒΑ κύκλος γεγράφθω ὁ ΑΓΕ, καὶ ἀπὸ τοῦ Γ σημείου, καθ᾽ ὃ τέμνουσιν ἀλλήλους οἱ κύκλοι, ἐπί τὰ Α, Β σημεῖα ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΓΑ, ΓΒ.	Α merkezine, ΑΒ uzaklığında olan daire çizilmiş olsun, ΒΓΔ, ve yine Β merkezine, ΒΑ uzaklığında olan daire çizilmiş olsun, ΑΓΕ, ve dairelerin kesiştiği Γ noktasından Α, Β noktalarına birleştirilmiş olsun ΓΑ, ΓΒ doğruları.

καὶ ἐπεὶ τὸ Α σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΒ κύκλου,	Ve Α noktası ΓΔΒ dairesinin merkezi olduğundan,
ἴση ἐστὶν ἡ ΑΓ τῇ ΑΒ·	ΑΓ, ΑΒ'ya eşittir.
πάλιν,	Yine
ἐπεὶ τὸ Β σημεῖον κέντρον ἐστὶ τοῦ ΓΑΕ κύκλου,	Β noktası ΓΑΕ dairesinin merkezi olduğundan,
ἴση ἐστὶν ἡ ΒΓ τῇ ΒΑ.	ΒΓ, ΒΑ'ya eşittir.
ἐδείχθη δὲ καὶ ἡ ΓΑ τῇ ΑΒ ἴση·	Ve ΓΑ'nın ΑΒ'ya eşit olduğu gösterilmişti.
ἑκατέρα ἄρα τῶν ΓΑ, ΓΒ τῇ ΑΒ ἐστιν ἴση.	Böylece ΓΑ ile ΓΒ'nın her biri ΑΒ'ya eşittir.
τὰ δὲ τῷ αὐτῷ ἴσα	Ama aynı şeye eşitler
καὶ ἀλλήλοις ἐστὶν ἴσα·	birbirine de eşittir.
καὶ ἡ ΓΑ ἄρα τῇ ΓΒ ἐστιν ἴση·	Böylece ΓΑ da, ΓΒ'ya eşittir.
αἱ τρεῖς ἄρα αἱ ΓΑ, ΑΒ, ΒΓ	Böylece o üç doğru, ΓΑ, ΑΒ, ΒΓ,
ἴσαι ἀλλήλαις εἰσίν.	birbirine eşittir.
Ἰσόπλευρον ἄρα	Böylece eşkenardır
ἐστὶ τὸ ΑΒΓ τρίγωνον.	ΑΒΓ üçgeni.
καὶ συνέσταται	Ve inşa edilmiştir
ἐπὶ τῆς δοθείσης εὐθείας πεπερασμένης τῆς ΑΒ.	verilmiş sınırlanmış ΑΒ doğrusuna;
ὅπερ ἔδει ποιῆσαι.	yapılması gereken tam buydu.



2. Önerme

Πρὸς τῷ δοθέντι σημείῳ τῇ δοθείσῃ εὐθείᾳ ἴσην εὐθεῖαν θέσθαι.	Verilmiş noktaya verilmiş doğruya eşit olan doğru yerleştirmek.
Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ ΒΓ·	Olsun verilmiş nokta Α, verilmiş doğru da ΒΓ.
δεῖ δὴ πρὸς τῷ Α σημείῳ τῇ δοθείσῃ εὐθείᾳ τῇ ΒΓ ἴσην εὐθεῖαν θέσθαι.	O halde gereklidir Α noktasına, verilmiş ΒΓ doğrusuna eşit olan bir doğru yerleştirmek.
Ἐπεζεύχθω γὰρ ἀπὸ τοῦ Α σημείου ἐπί τὸ Β σημεῖον εὐθεῖα ἡ ΑΒ, καὶ συνεστάτω ἐπ᾽ αὐτῆς τρίγωνον ἰσόπλευρον τὸ ΔΑΒ, καὶ ἐκβεβλήσθωσαν ἐπ᾽ εὐθείας ταῖς ΔΑ, ΔΒ εὐθεῖαι αἱ ΑΕ, ΒΖ, καὶ κέντρῳ μὲν τῷ Β διαστήματι δὲ τῷ ΒΓ κύκλος γεγράφθω ὁ ΓΗΘ, καὶ πάλιν κέντρῳ τῷ Δ καὶ διαστήματι τῷ ΔΗ κύκλος γεγράφθω ὁ ΗΚΛ.	Zira birleştirilmiş olsun Α noktasından Β noktasına ΑΒ doğrusu, ve inşa edilmiş olsun bu [doğru] üzerine eşkenar üçgen ΔΑΒ, ve uzatılmış olsun ΔΑ ile ΔΒ doğrularından ΑΕ ile ΒΖ doğruları, ve Β merkezine ΒΓ uzaklığında ΓΗΘ dairesi çizilmiş olsun, ve yine Δ merkezine ve ΔΗ uzaklığında ΗΚΛ dairesi çizilmiş olsun.
Ἐπεὶ οὖν τὸ Β σημεῖον κέντρον ἐστὶ τοῦ ΓΗΘ, ἴση ἐστὶν ἡ ΒΓ τῇ ΒΗ. πάλιν, ἐπεὶ τὸ Δ σημεῖον κέντρον ἐστὶ τοῦ ΗΚΛ κύκλου, ἴση ἐστὶν ἡ ΔΛ τῇ ΔΗ,	Dolayısıyla Β noktası ΓΗΘ dairesinin merkezi olduğundan, ΒΓ, ΒΗ'ya eşittir. Yine, Δ noktası ΗΚΛ dairesinin merkezi olduğundan, ΔΛ, ΔΗ'ya eşittir,

ὧν ἡ ΔΑ τῇ ΔΒ ἴση ἐστίν.
λοιπὴ ἄρα ἡ ΑΛ
λοιπῇ τῇ ΒΗ ἐστιν ἴση.
ἐδείχθη δὲ καὶ ἡ ΒΓ τῇ ΒΗ ἴση·

ve bunlardan ΔΑ, ΔΒ'ya eşittir.
Böylece ΑΛ kalanı,
ΒΗ kalanına eşittir.
Ve ΒΓ'nın ΒΗ'ya eşit olduğu gösterilmişti.

ἑκατέρα ἄρα τῶν ΑΛ, ΒΓ τῇ ΒΗ ἐστιν ἴση.
τὰ δὲ τῷ αὐτῷ ἴσα
καὶ ἀλλήλοις ἐστὶν ἴσα·
καὶ ἡ ΑΛ ἄρα τῇ ΒΓ ἐστιν ἴση.

Böylece ΑΛ ile ΒΓ'nın her biri ΒΗ'ya eşittir.
Ama aynı şeye eşitler
birbirine de eşittir.
Ve böylece ΑΛ da, ΒΓ'ya eşittir.

Πρὸς ἄρα τῷ δοθέντι σημείῳ τῷ Α
τῇ δοθείσῃ εὐθείᾳ τῇ ΒΓ ἴση
εὐθεῖα κεῖται ἡ ΑΛ·
ὅπερ ἔδει ποιῆσαι.

Böylece verilmiş Α noktasına
verilmiş ΒΓ doğrusuna eşit olan
ΑΛ doğrusu oturuyor;
yapılması gereken tam buydu.



3. Önerme

Δύο δοθεισῶν εὐθειῶν ἀνίσων	İki eşit olmayan doğru verilince
ἀπὸ τῆς μείζονος	daha büyükten
τῇ ἐλάσσονι ἴσην	daha küçüğe eşit olan
εὐθεῖαν ἀφελεῖν.	bir doğru ayırmak.
Ἔστωσαν	Olsun
αἱ δοθεῖσαι δύο εὐθεῖαι ἄνισοι	verilmiş iki eşit olmayan doğru
αἱ ΑΒ, Γ,	AB ile Γ,
ὧν μείζων ἔστω ἡ ΑΒ·	ve daha büyüğü AB olsun.
δεῖ δὴ	O halde gereklidir
ἀπὸ τῆς μείζονος τῆς ΑΒ	daha büyük olan AB'dan
τῇ ἐλάσσονι τῇ Γ ἴσην	daha küçük olan Γ'ya eşit olan
εὐθεῖαν ἀφελεῖν.	bir doğru ayırmak.
Κείσθω	Otursun
πρὸς τῷ Α σημείῳ	A noktasına
τῇ Γ εὐθείᾳ ἴση ἡ ΑΔ·	Γ doğrusuna eşit olan AΔ.
καὶ κέντρῳ μὲν τῷ Α	Ve A merkezine
διαστήματι δὲ τῷ ΑΔ	AΔ uzaklığında olan
κύκλος γεγράφθω ὁ ΔΕΖ.	ΔEZ dairesi çizilmiş olsun.
καὶ ἐπεὶ τὸ Α σημεῖον	Ve A noktası,
κέντρον ἐστὶ τοῦ ΔΕΖ κύκλου,	ΔEZ dairesinin merkezi olduğundan,
ἴση ἐστὶν ἡ ΑΕ τῇ ΑΔ·	AE, AΔ'ya eşittir.
ἀλλὰ καὶ ἡ Γ τῇ ΑΔ ἐστιν ἴση.	Ama Γ da, AΔ'ya eşittir.
ἑκατέρα ἄρα τῶν ΑΕ, Γ	Böylece AE ile Γ'nın her biri
τῇ ΑΔ ἐστιν ἴση·	AΔ'ya eşittir.
ὥστε καὶ ἡ ΑΕ τῇ Γ ἐστιν ἴση.	Öyleyse AE da, Γ'ya eşittir.
Δύο ἄρα δοθεισῶν εὐθειῶν ἀνίσων τῶν ΑΒ, Γ	Böylece iki eşit olmayan AB ile Γ doğrusu verilince
ἀπὸ τῆς μείζονος τῆς ΑΒ	daha büyük olan AB'dan

τῇ ἐλάσσονι τῇ Γ ἴση
ἀφῄρηται ἡ ΑΕ·
ὅπερ ἔδει ποιῆσαι.

daha küçük olan Γ'ya eşit olan
ΑΕ ayrılır;
yapılması gereken tam buydu.



4. Önerme

Ἐὰν δύο τρίγωνα
τὰς δύο πλευρὰς
[ταῖς] δυσὶ πλευραῖς ἴσας ἔχῃ
ἑκατέραν ἑκατέρᾳ
καὶ τὴν γωνίαν
τῇ γωνίᾳ ἴσην ἔχῃ
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν
περιεχομένην,
καὶ τὴν βάσιν
τῇ βάσει ἴσην ἕξει,
καὶ τὸ τρίγωνον
τῷ τριγώνῳ ἴσον ἔσται,
καὶ αἱ λοιπαὶ γωνίαι
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται
ἑκατέρα ἑκατέρᾳ,
ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ
ὑποτείνουσιν.

Eğer iki üçgende
iki kenar
iki kenara eşit olursa,
her biri birine,
ve açı,
açıya eşit olursa,
[yani,] eşit doğrular tarafından
içerilen,
taban da
tabana eşit olacak,
üçgen de
üçgene eşit olacak,
ve kalan açılar da
kalan açılara eşit olacak,
her biri birine,
[yani,] eşit kenarlar tarafından
raptedilenler[14].



Ἔστω
δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ
τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ
ταῖς δυσὶ πλευραῖς ταῖς ΔΕ, ΔΖ
ἴσας ἔχοντα

Olsun
iki üçgen ΑΒΓ ile ΔΕΖ,
iki ΑΒ ile ΑΓ kenarı
iki ΔΕ ile ΔΖ kenarına
eşit olan

[14] Veya *eşit kenarlar tarafından görülenler.*

ἑκατέραν ἑκατέρᾳ	her biri birine,
τὴν μὲν ΑΒ τῇ ΔΕ τὴν δὲ ΑΓ τῇ ΔΖ	ΑΒ, ΔΕ'a ve ΑΓ, ΔΖ'ya,
καὶ γωνίαν τὴν ὑπὸ ΒΑΓ	ve ΒΑΓ [tarafından içerilen] açısı
γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴσην.	ΕΔΖ açısına eşit [olan].
λέγω, ὅτι	Diyorum[15] ki,
καὶ βάσις ἡ ΒΓ	ΒΓ tabanıda,
βάσει τῇ ΕΖ ἴση ἐστίν,	ΕΖ tabanına eşittir,
καὶ τὸ ΑΒΓ τρίγωνον	ΑΒΓ üçgeni de
τῷ ΔΕΖ τριγώνῳ ἴσον ἔσται,	ΔΕΖ üçgenine eşit olacak,
καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar da
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται	kalan açılara eşit olacak,
ἑκατέρα ἑκατέρᾳ,	her biri birine,
ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ	eşit kenarlar tarafından
ὑποτείνουσιν,	raptedilenler:
ἡ μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ,	ΑΒΓ, ΔΕΖ'ya,
ἡ δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ.	ve ΑΓΒ, ΔΖΕ'a.
Ἐφαρμοζομένου γὰρ	Zira uygulanınca
τοῦ ΑΒΓ τριγώνου	ΑΒΓ üçgeni,
ἐπὶ τὸ ΔΕΖ τρίγωνον	ΔΕΖ üçgeninin üstüne,
καὶ τιθεμένου	ve yerleştirilince
τοῦ μὲν Α σημείου	Α noktası,
ἐπὶ τὸ Δ σημεῖον	Δ noktasına,
τῆς δὲ ΑΒ εὐθείας	ve ΑΒ doğrusu,
ἐπὶ τὴν ΔΕ,	ΔΕ'a,
ἐφαρμόσει καὶ	uygulayacak da
τὸ Β σημεῖον ἐπὶ τὸ Ε	Β noktası da Ε'a,
διὰ τὸ ἴσην εἶναι τὴν ΑΒ τῇ ΔΕ·	çünkü ΑΒ, ΔΕ'a eşittir.
ἐφαρμοσάσης δὴ	O halde uygulamış olunca
τῆς ΑΒ ἐπὶ τὴν ΔΕ	ΑΒ, ΔΕ'a,
ἐφαρμόσει καὶ	uygulayacak da
ἡ ΑΓ εὐθεῖα ἐπὶ τὴν ΔΖ	ΑΓ doğrusu, ΔΖ'ya,
διὰ τὸ ἴσην εἶναι τὴν ὑπὸ ΒΑΓ γωνίαν τῇ ὑπὸ ΕΔΖ·	çünkü ΒΑΓ açısı, ΕΔΖ'ya eşittir.
ὥστε καὶ τὸ Γ σημεῖον	Öyleyse Γ noktası da

[15] Veya *İddia ediyorum.*

ἐπὶ τὸ Ζ σημεῖον ἐφαρμόσει	Ζ noktasına uygulayacak,
διὰ τὸ ἴσην πάλιν εἶναι τὴν ΑΓ τῇ ΔΖ.	yine çünkü ΑΓ, ΔΖ'ya eşittir.
ἀλλὰ μὴν καὶ τὸ Β	Ama tabii ki Β da,
ἐπὶ τὸ Ε ἐφηρμόκει·	Ε'a uygulamıştır;
ὥστε βάσις ἡ ΒΓ	öyleyse ΒΓ tabanı,
ἐπὶ βάσιν τὴν ΕΖ ἐφαρμόσει.	ΕΖ tabanına uygulayacak.
εἰ γὰρ	Zira eğer,
τοῦ μὲν Β ἐπὶ τὸ Ε ἐφαρμόσαντος	Β, Ε'a uygulayınca,
τοῦ δὲ Γ ἐπὶ τὸ Ζ	ve Γ, Ζ'ya,
ἡ ΒΓ βάσις	ΒΓ tabanı
ἐπὶ τὴν ΕΖ οὐκ ἐφαρμόσει,	ΕΖ tabanına uygulamayacaksa,
δύο εὐθεῖαι χωρίον περιέξουσιν·	iki doğru bir alan içerecek,
ὅπερ ἐστὶν ἀδύνατον.	ki bu imkânsızdır.
ἐφαρμόσει ἄρα ἡ ΒΓ βάσις	Böylece uygulayacak ΒΓ tabanı,
ἐπὶ τὴν ΕΖ	ΕΖ tabanına
καὶ ἴση αὐτῇ ἔσται·	ve ona eşit olacak.
ὥστε καὶ ὅλον τὸ ΑΒΓ τρίγωνον	Dolayısıyla bütün ΑΒΓ üçgeni de,
ἐπὶ ὅλον τὸ ΔΕΖ τρίγωνον	bütün ΔΕΖ üçgenine
ἐφαρμόσει	uygulayacak,
καὶ ἴσον αὐτῷ ἔσται,	ve ona eşit olacak,
καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar
ἐπὶ τὰς λοιπὰς γωνίας	kalan açılara
ἐφαρμόσουσι	uygulayacak,
καὶ ἴσαι αὐταῖς ἔσονται,	ve onlara eşit olacak:
ἡ μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ	ΑΒΓ, ΔΕΖ'ya
ἡ δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ.	ve ΑΓΒ, ΔΖΕ'a.

Ἐὰν ἄρα δύο τρίγωνα	Böylece, eğer iki üçgende
τὰς δύο πλευρὰς	iki kenar
[ταῖς] δύο πλευραῖς ἴσας ἔχῃ	iki kenara eşit olursa
ἑκατέραν ἑκατέρᾳ	(her biri birine)
καὶ τὴν γωνίαν	ve açı
τῇ γωνίᾳ ἴσην ἔχῃ	açıya eşit olursa
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν	[yani,] eşit doğrular tarafından
περιεχομένην,	içerilen,
καὶ τὴν βάσιν	taban da
τῇ βάσει ἴσην ἕξει,	tabana eşit olacak,
καὶ τὸ τρίγωνον	üçgen de

τῷ τριγώνῳ ἴσον ἔσται,	üçgene eşit olacak,
καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar da
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται	kalan açılara eşit olacak,
ἑκατέρα ἑκατέρᾳ,	her biri birine,
ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ	[yani] eşit kenarlar tarafından
ὑποτείνουσιν·	raptedilenler;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



5. Önerme

Τῶν ἰσοσκελῶν τριγώνων
αἱ πρὸς τῇ βάσει γωνίαι
ἴσαι ἀλλήλαις εἰσίν, καὶ
προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν
αἱ ὑπὸ τὴν βάσιν γωνίαι
ἴσαι ἀλλήλαις ἔσονται.

İkizkenar üçgenlerde,
tabandaki açılar
birbirine eşittir, ve,
eşit doğrular uzatıldığında,
tabanın altında kalan açılar
birbirine eşit olacak.



Ἔστω
τρίγωνον ἰσοσκελὲς τὸ ΑΒΓ
ἴσην ἔχον τὴν ΑΒ πλευρὰν τῇ ΑΓ πλευρᾷ,
καὶ προσεκβεβλήσθωσαν
ἐπ᾽ εὐθείας ταῖς ΑΒ, ΑΓ
εὐθεῖαι αἱ ΒΔ, ΓΕ·

Olsun
ikizkenar üçgen ΑΒΓ,
ΑΒ kenarı ΑΓ kenarına eşit olan,
ve uzatılmış olsun
ΑΒ ve ΑΓ doğrularından
ΒΔ ve ΓΕ doğruları.

λέγω, ὅτι
ἡ μὲν ὑπὸ ΑΒΓ γωνία
τῇ ὑπὸ ΑΓΒ ἴση ἐστίν,
ἡ δὲ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΒΓΕ.

Diyorum ki
ΑΒΓ açısı,
ΑΓΒ'ya eşittir
ve ΓΒΔ, ΒΓΕ'a eşittir

Εἰλήφθω γὰρ
ἐπὶ τῆς ΒΔ
τυχὸν σημεῖον τὸ Ζ,
καὶ ἀφῃρήσθω
ἀπὸ τῆς μείζονος τῆς ΑΕ

Zira alınmış olsun
ΒΔ üzerinde
rastgele bir Ζ noktası,
ve ayrılmış olsun
büyük olan ΑΕ'dan

τῇ ἐλάσσονι τῇ ΑΖ ἴση ἡ ΑΗ,	küçük olan ΑΖ’ya eşit olan ΑΗ,
καὶ ἐπεζεύχθωσαν	ve birleştirilmiş olsun
αἱ ΖΓ, ΗΒ εὐθεῖαι.	ΖΓ ve ΗΒ doğruları.
Ἐπεὶ οὖν ἴση ἐστὶν	Dolayısıyla eşit olduğundan
ἡ μὲν ΑΖ τῇ ΑΗ	ΑΖ, ΑΗ’ya
ἡ δὲ ΑΒ τῇ ΑΓ,	ve ΑΒ, ΑΓ’ya,
δύο δὴ αἱ ΖΑ, ΑΓ	o halde ΖΑ, ΑΓ ikilisi
δυσὶ ταῖς ΗΑ, ΑΒ ἴσαι εἰσὶν	ΗΑ, ΑΒ ikilisine eşittir,
ἑκατέρα ἑκατέρᾳ·	her biri birine;
καὶ γωνίαν κοινὴν περιέχουσι	ve ortak bir açıyı sınırlandırırlar,
τὴν ὑπὸ ΖΑΗ·	(yani) ΖΑΗ’yı;
βάσις ἄρα ἡ ΖΓ βάσει	böylece ΖΓ tabanı
τῇ ΗΒ ἴση ἐστίν,	ΗΒ tabanına eşittir,
καὶ τὸ ΑΖΓ τρίγωνον	ve ΑΖΓ üçgeni
τῷ ΑΗΒ τριγώνῳ ἴσον ἔσται,	ΑΗΒ üçgenine eşit olacak,
καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται	kalan açılara eşit olacak,
ἑκατέρα ἑκατέρᾳ,	her biri birine,
ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν,	(yani) eşit kenarları raptedenler;
ἡ μὲν ὑπὸ ΑΓΖ τῇ ὑπὸ ΑΒΗ,	ΑΓΖ, ΑΒΗ’ya,
ἡ δὲ ὑπὸ ΑΖΓ τῇ ὑπὸ ΑΗΒ.	ve ΑΖΓ, ΑΗΒ’ya.
καὶ ἐπεὶ ὅλη ἡ ΑΖ	Ve bütün ΑΖ
ὅλῃ τῇ ΑΗ ἐστιν ἴση,	bütün ΑΗ’ya eşit olduğundan,
ὧν ἡ ΑΒ	ve bunların [parçalarından] ΑΒ
τῇ ΑΓ ἐστιν ἴση,	ΑΓ’ya eşit olduğundan,
λοιπὴ ἄρα ἡ ΒΖ	böylece ΒΖ kalanı
λοιπῇ τῇ ΓΗ ἐστιν ἴση.	ΓΗ kalanına eşittir.
ἐδείχθη δὲ καὶ ἡ ΖΓ	Ve gösterilmişti ΖΓ’nın
τῇ ΗΒ ἴση·	ΗΒ’ya eşit olduğu.
δύο δὴ αἱ ΒΖ, ΖΓ	O halde ΒΖ ve ΖΓ ikilisi
δυσὶ ταῖς ΓΗ, ΗΒ ἴσαι εἰσὶν	ΓΗ ve ΗΒ ikilisine eşittir,
ἑκατέρα ἑκατέρᾳ·	her biri birine,
καὶ γωνία ἡ ὑπὸ ΒΖΓ	ve ΒΖΓ açısı,
γωνίᾳ τῃ ὑπὸ ΓΗΒ ἴση,	ΓΗΒ açısına eşittir,
καὶ βάσις αὐτῶν κοινὴ ἡ ΒΓ·	ve onların ortak tabanı ΒΓ’dır;
καὶ τὸ ΒΖΓ ἄρα τρίγωνον	Böylece ΒΖΓ üçgeni de
τῷ ΓΗΒ τριγώνῳ ἴσον ἔσται,	ΓΗΒ üçgenine eşit olacak,

καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται	kalan açılarına eşit olacak,
ἑκατέρα ἑκατέρᾳ,	her biri birine,
ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν·	aynı kenarları raptedenler.
ἴση ἄρα ἐστὶν	Böylece eşittir
ἡ μὲν ὑπὸ ΖΒΓ τῇ ὑπὸ ΗΓΒ	ΖΒΓ, ΗΓΒ'ya,
ἡ δὲ ὑπὸ ΒΓΖ τῇ ὑπὸ ΓΒΗ.	ve ΒΓΖ, ΓΒΗ'ya.
ἐπεὶ οὖν ὅλη ἡ ὑπὸ ΑΒΗ γωνία	Dolayısıyla bütün ΑΒΗ açısının
ὅλῃ τῇ ὑπὸ ΑΓΖ γωνίᾳ	bütün ΑΓΖ açısına
ἐδείχθη ἴση,	eşit olduğu gösterilmiş olduğundan
ὧν ἡ ὑπὸ ΓΒΗ	ve bunların [parçalarından] ΓΒΗ,
τῇ ὑπὸ ΒΓΖ ἴση,	ΒΓΖ'ya eşit olduğundan,
λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΓ	böylece kalan ΑΒΓ,
λοιπῇ τῇ ὑπὸ ΑΓΒ ἐστιν ἴση·	kalan ΑΓΒ'ya eşittir;
καί εἰσι πρὸς τῇ βάσει	ve bunlar tabanındadır
τοῦ ΑΒΓ τριγώνου.	ΑΒΓ üçgeninin.
ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΒΓ	Ve gösterilmişti ΖΒΓ'nın
τῇ ὑπὸ ΗΓΒ ἴση·	ΗΓΒ'ya eşit olduğu;
καί εἰσιν ὑπὸ τὴν βάσιν.	ve bunlar tabanın altındadır.

Τῶν ἄρα ἰσοσκελῶν τριγώνων	Böylece ikizkenar üçgenlerde,
αἱ πρὸς τῇ βάσει γωνίαι	tabandaki açılar
ἴσαι ἀλλήλαις εἰσίν, καὶ	birbirine eşittir, ve,
προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν	eşit doğrular uzatıldığında,
αἱ ὑπὸ τὴν βάσιν γωνίαι	tabanın altında kalan açılar
ἴσαι ἀλλήλαις ἔσονται·	birbirine eşit olacak;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



6. Önerme

Ἐὰν τριγώνου αἱ δύο γωνίαι
ἴσαι ἀλλήλαις ὦσιν,
καὶ αἱ ὑπὸ τὰς ἴσας γωνίας
ὑποτείνουσαι πλευραὶ
ἴσαι ἀλλήλαις ἔσονται.

Eğer bir üçgenin iki açısı
birbirine eşit ise,
eşit açıları
rapteden kenarlar da
birbirine eşit olacaktır.

Ἔστω
τρίγωνον τὸ ΑΒΓ
ἴσην ἔχον τὴν ὑπὸ ΑΒΓ γωνίαν
τῇ ὑπὸ ΑΓΒ γωνίᾳ·

Olsun
üçgen ΑΒΓ,
ΑΒΓ açısı eşit olan
ΑΓΒ açısına.

λέγω, ὅτι
καὶ πλευρὰ ἡ ΑΒ
πλευρᾷ τῇ ΑΓ ἐστιν ἴση.

Diyorum ki
ΑΒ kenarı da
ΑΓ kenarına eşittir.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΑΓ,
ἡ ἑτέρα αὐτῶν μείζων ἐστίν.
ἔστω μείζων ἡ ΑΒ,
καὶ ἀφῃρήσθω
ἀπὸ τῆς μείζονος τῆς ΑΒ
τῇ ἐλάττονι τῇ ΑΓ ἴση
ἡ ΔΒ,
καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Zira eğer ΑΒ, ΑΓ'ya eşit değilse,
biri daha büyüktür.
ΑΒ daha büyük olsun,
ve ayrılmış olsun
daha büyük olan ΑΒ'dan
daha küçük olan ΑΓ'ya eşit olan
ΔΒ,
ve ΔΓ birleştirilmiş olsun.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΒ τῇ ΑΓ
κοινὴ δὲ ἡ ΒΓ,
δύο δὴ αἱ ΔΒ, ΒΓ
δύο ταῖς ΑΓ, ΓΒ ἴσαι εἰσὶν
ἑκατέρα ἑκατέρᾳ,
καὶ γωνία ἡ ὑπὸ ΔΒΓ
γωνίᾳ τῇ ὑπὸ ΑΓΒ ἐστιν ἴση·
βάσις ἄρα ἡ ΔΓ
βάσει τῇ ΑΒ ἴση ἐστίν,
καὶ τὸ ΔΒΓ τρίγωνον

Dolayısıyla ΔΒ, ΑΓ'ya eşit olduğundan,
ve ΒΓ ortak olduğundan,
o halde ΔΒ, ΒΓ ikilisi
ΑΓ, ΒΓ ikilisine eşittir
her biri birine,
ve ΔΒΓ açısı
ΑΓΒ açısına eşittir;
böylece ΔΓ tabanı
ΑΒ tabanına eşittir,
ve ΔΒΓ üçgeni

τῷ ΑΓΒ τριγώνῳ ἴσον ἔσται,	ΑΓΒ üçgenine eşit olacak,
τὸ ἔλασσον τῷ μείζονι·	daha küçük daha büyüğe;
ὅπερ ἄτοπον·	ki bu saçmadır;
οὐκ ἄρα ἄνισός ἐστιν	böylece eşit değil değildir
ἡ ΑΒ τῇ ΑΓ·	ΑΒ, ΑΓ'ya;
ἴση ἄρα.	böylece eşittir.

Ἐὰν ἄρα τριγώνου αἱ δύο γωνίαι	Böylece eğer bir üçgenin iki açısı
ἴσαι ἀλλήλαις ὦσιν,	birbirine eşit ise,
καὶ αἱ ὑπὸ τὰς ἴσας γωνίας	eşit açıları
ὑποτείνουσαι πλευραὶ	rapteden kenarlar da
ἴσαι ἀλλήλαις ἔσονται·	birbirine eşit olacaklar;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



7. Önerme

Ἐπὶ τῆς αὐτῆς εὐθείας	Aynı doğru üzerinde,
δύο ταῖς αὐταῖς εὐθείαις	aynı iki doğruya
ἄλλαι δύο εὐθεῖαι ἴσαι	eşit olan başka iki doğru,
ἑκατέρα ἑκατέρᾳ	her biri birine,
οὐ συσταθήσονται	inşa edilmeyecek
πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ	bir ve başka bir noktaya,
ἐπὶ τὰ αὐτὰ μέρη	aynı tarafta,
τὰ αὐτὰ πέρατα ἔχουσαι	aynı sınırları olan
ταῖς ἐξ ἀρχῆς εὐθείαις.	başlangıçtaki doğrularla.[16]
Εἰ γὰρ δυνατόν,	Zira eğer mümkünse,
ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ	aynı ΑΒ doğrusu üzerinde
δύο ταῖς αὐταῖς εὐθείαις ταῖς ΑΓ, ΓΒ	verilmiş iki ΑΓ, ΓΒ doğrusuna
ἄλλαι δύο εὐθεῖαι αἱ ΑΔ, ΔΒ ἴσαι	eşit başka iki ΑΔ, ΔΒ doğrusu
ἑκατέρα ἑκατέρᾳ	her biri birine
συνεστάτωσαν	inşa edilmiş olsun
πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ	bir ve başka bir noktaya,
τῷ τε Γ καὶ Δ	hem Γ'ya hem Δ'ya,
ἐπὶ τὰ αὐτὰ μέρη	aynı tarafta,
τὰ αὐτὰ πέρατα ἔχουσαι,	aynı sınırları olan,
ὥστε ἴσην εἶναι	öyle ki eşit olsun
τὴν μὲν ΓΑ τῇ ΔΑ	hem ΓΑ, ΔΑ'ya,
τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ	kendisiyle aynı sınıra sahip olan,
τὸ Α,	[yani] Α;
τὴν δὲ ΓΒ τῇ ΔΒ	hem de ΓΒ, ΔΒ'ya,
τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ	kendisiyle aynı sınıra sahip olan,
τὸ Β,	[yani] Β,
καὶ ἐπεζεύχθω ἡ ΓΔ.	ve ΓΔ birleştirilmiş olsun.
Ἐπεὶ οὖν ἴση ἐστὶν	Dolayısıyla eşit olduğundan
ἡ ΑΓ τῇ ΑΔ,	ΑΓ, ΑΔ'ya,
ἴση ἐστὶ	eşittir
καὶ γωνία ἡ ὑπὸ ΑΓΔ τῇ ὑπὸ ΑΔΓ·	ΑΓΔ açısı da, ΑΔΓ'ya;

[16] Heath [5, I.259], 21. önermeyle karşılaştırmamızı önerir.

μείζων ἄρα ἡ ὑπὸ ΑΔΓ	böylece ΑΔΓ büyüktür
τῆς ὑπὸ ΔΓΒ·	ΔΓΒ'dan;
πολλῷ ἄρα ἡ ὑπὸ ΓΔΒ μείζων ἐστί	böylece ΓΔΒ çok daha büyüktür
τῆς ὑπὸ ΔΓΒ.	ΔΓΒ'dan.
πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΓΒ τῇ ΔΒ,	Yine ΓΒ, ΔΒ'ya eşit olduğundan,
ἴση ἐστὶ	eşittir
καὶ γωνία ἡ ὑπὸ ΓΔΒ	ΓΔΒ açısı da,
γωνίᾳ τῇ ὑπὸ ΔΓΒ.	ΔΓΒ açısına.
ἐδείχθη δὲ αὐτῆς καὶ πολλῷ μείζων·	Ve ondan çok daha büyük olduğu gösterilmişti;
ὅπερ ἐστὶν ἀδύνατον.	ki bu imkânsızdır.
Οὐκ ἄρα	Böylece olmaz:
ἐπὶ τῆς αὐτῆς εὐθείας	aynı doğru üzerinde,
δύο ταῖς αὐταῖς εὐθείαις	iki verilmiş doğruya,
ἄλλαι δύο εὐθεῖαι ἴσαι	eşit iki başka doğru,
ἑκατέρα ἑκατέρᾳ	her biri birine,
συσταθήσονται	inşa edilmeyecek
πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ	bir ve başka bir noktaya,
ἐπὶ τὰ αὐτὰ μέρη	aynı tarafta,
τὰ αὐτὰ πέρατα ἔχουσαι	aynı sınırları olan
ταῖς ἐξ ἀρχῆς εὐθείαις·	başlangıçtaki doğrularla;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



8. Önerme

Ἐὰν δύο τρίγωνα
τὰς δύο πλευρὰς
[ταῖς] δύο πλευραῖς ἴσας ἔχῃ
ἑκατέραν ἑκατέρᾳ,
ἔχῃ δὲ καὶ τὴν βάσιν τῇ βάσει ἴσην,
καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἕξει
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν
περιεχομένην.

Eğer iki üçgende
iki kenar
iki kenara eşit ise,
her biri birine,
ve taban tabana eşit ise,
açı da açıya eşit olacak,
eşit doğrularca
içerilen.



Ἔστω
δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ
τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ
ταῖς δύο πλευραῖς ταῖς ΔΕ, ΔΖ
ἴσας ἔχοντα
ἑκατέραν ἑκατέρᾳ,
τὴν μὲν ΑΒ τῇ ΔΕ
τὴν δὲ ΑΓ τῇ ΔΖ·
ἐχέτω δὲ
καὶ βάσιν τὴν ΒΓ βάσει τῇ ΕΖ ἴσην·

Olsun
iki üçgen ΑΒΓ ve ΔΕΖ,
iki ΑΒ ile ΑΓ kenarı
iki ΔΕ ile ΔΖ kenarına
eşit olan
her biri birine,
ΑΒ, ΔΕ'a,
ΑΓ da, ΔΖ'ya;
olsun
bir de ΒΓ tabanı ΕΖ tabanına eşit.

λέγω, ὅτι
καὶ γωνία ἡ ὑπὸ ΒΑΓ
γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση.

Diyorum ki
bir de ΒΑΓ açısı da
ΕΔΖ açısına eşittir.

Ἐφαρμοζομένου γὰρ	Zira uygulanınca
τοῦ ΑΒΓ τριγώνου	ΑΒΓ üçgeni
ἐπὶ τὸ ΔΕΖ τρίγωνον	ΔΕΖ üçgene,
καὶ τιθεμένου	ve yerleştirilince
τοῦ μὲν Β σημείου ἐπὶ τὸ Ε σημεῖον	Β noktası, Ε noktasına,
τῆς δὲ ΒΓ εὐθείας ἐπὶ τὴν ΕΖ	ve ΒΓ doğrusu, ΕΖ'ya,
ἐφαρμόσει καὶ	uygulayacak da
τὸ Γ σημεῖον ἐπὶ τὸ Ζ	Γ noktası, Ζ'ya,
διὰ τὸ ἴσην εἶναι τὴν ΒΓ τῇ ΕΖ·	çünkü ΒΓ, ΕΖ'ya eşittir.
ἐφαρμοσάσης δὴ	Uygulayınca, o halde,
τῆς ΒΓ ἐπὶ τὴν ΕΖ	ΒΓ, ΕΖ'ya,
ἐφαρμόσουσι καὶ αἱ ΒΑ, ΓΑ	bir de ΒΑ ve ΓΑ, uygulayacak
ἐπὶ τὰς ΕΔ, ΔΖ.	ΕΔ ve ΔΖ'ya.
εἰ γὰρ βάσις μὲν ἡ ΒΓ	Zira eğer ΒΓ tabanı,
ἐπὶ βάσιν τὴν ΕΖ ἐφαρμόσει,	ΕΖ tabanına uygularsa,
αἱ δὲ ΒΑ, ΑΓ πλευραὶ	ve ΒΑ ve ΑΓ kenarları
ἐπὶ τὰς ΕΔ, ΔΖ οὐκ ἐφαρμόσουσιν	ΕΔ ve ΔΖ'ya uygulamazsa,
ἀλλὰ παραλλάξουσιν	ama saparsa,
ὡς αἱ ΕΗ, ΗΖ,	ΕΗ ve ΗΖ olarak,
συσταθήσονται	inşa edilecek
ἐπὶ τῆς αὐτῆς εὐθείας	aynı doğru üzerinde,
δύο ταῖς αὐταῖς εὐθείαις	aynı iki doğruya
ἄλλαι δύο εὐθεῖαι ἴσαι	eşit olan başka iki doğru,
ἑκατέρα ἑκατέρᾳ	her biri birine,
πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ	bir ve başka bir noktaya
ἐπὶ τὰ αὐτὰ μέρη	aynı tarafta
τὰ αὐτὰ πέρατα ἔχουσαι.	aynı sınırları olan.
οὐ συνίστανται δέ·	Ama inşa edilmez;
οὐκ ἄρα	böylece olmaz:
ἐφαρμοζομένης τῆς ΒΓ βάσεως	ΒΓ tabanı uygulayınca
ἐπὶ τὴν ΕΖ βάσιν	ΕΖ tabanına,
οὐκ ἐφαρμόσουσι	uygulamayacak
καὶ αἱ ΒΑ, ΑΓ πλευραὶ	ΒΑ ve ΑΓ kenarları da,
ἐπὶ τὰς ΕΔ, ΔΖ.	ΕΔ ve ΔΖ'ya.
ἐφαρμόσουσιν ἄρα·	Böylece uygulayacaklar.
ὥστε καὶ γωνία ἡ ὑπὸ ΒΑΓ	Öyleyse ΒΑΓ açısı da

ἐπὶ γωνίαν τὴν ὑπὸ ΕΔΖ	ΕΔΖ açısına
ἐφαρμόσει	uygulayacak
καὶ ἴση αὐτῇ ἔσται.	ve ona eşit olacak.
Ἐὰν ἄρα δύο τρίγωνα	Eğer, böylece, iki üçgende
τὰς δύο πλευρὰς	iki kenar
[ταῖς] δύο πλευραῖς ἴσας ἔχῃ	iki kenara eşit ise
ἑκατέραν ἑκατέρᾳ,	her biri birine,
ἔχῃ δὲ καὶ τὴν βάσιν τῇ βάσει ἴσην,	ve taban tabana eşit ise,
καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἕξει	açı da açıya eşit olacak,
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν	eşit doğrularca
περιεχομένην·	içerilen;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



9. Önerme

Τὴν δοθεῖσαν γωνίαν εὐθύγραμμον	Verilmiş düzkenar açıyı
δίχα τεμεῖν.	ikiye bölmek.
Ἔστω	Olsun
ἡ δοθεῖσα γωνία εὐθύγραμμος	verilmiş düzkenar açı
ἡ ὑπὸ ΒΑΓ.	ΒΑΓ.
δεῖ δὴ	O halde gereklidir
αὐτὴν δίχα τεμεῖν.	onun ikiye bölünmesi.
Εἰλήφθω	alınmış olsun
ἐπὶ τῆς ΑΒ τυχὸν σημεῖον τὸ Δ,	ΑΒ üzerinde rastgele bir Δ noktası,
καὶ ἀφῃρήσθω	ve ayrılmış olsun
ἀπὸ τῆς ΑΓ	ΑΓ doğrusundan
τῇ ΑΔ ἴση ἡ ΑΕ,	ΑΔ'ya eşit olan ΑΕ,
καὶ ἐπεζεύχθω ἡ ΔΕ,	ve ΔΕ birleştirilmiş olsun,
καὶ συνεστάτω ἐπὶ τῆς ΔΕ	ve inşa edilmiş olsun ΔΕ üzerinde
τρίγωνον ἰσόπλευρον τὸ ΔΕΖ,	bir ΔΕΖ eşkenar üçgeni,
καὶ ἐπεζεύχθω ἡ ΑΖ·	ve ΑΖ birleştirilmiş olsun.
λέγω, ὅτι	Diyorum ki
ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τέτμηται	ΒΑΓ açısı ikiye bölünmüş oldu
ὑπὸ τῆς ΑΖ εὐθείας.	ΑΖ doğrusu tarafından.
Ἐπεὶ γὰρ	Zira olduğundan
ἴση ἐστὶν ἡ ΑΔ τῇ ΑΕ,	ΑΔ ΑΕ'a eşit,
κοινὴ δὲ ἡ ΑΖ,	ve ΑΖ ortak,
δύο δὴ αἱ ΔΑ, ΑΖ	o halde ΔΑ, ΑΖ ikilisi
δυσὶ ταῖς ΕΑ, ΑΖ ἴσαι εἰσὶν	ΕΑ, ΑΖ ikilisine eşittir
ἑκατέρα ἑκατέρᾳ.	her biri birine,
καὶ βάσις ἡ ΔΖ	ve ΔΖ tabanı
βάσει τῇ ΕΖ ἴση ἐστίν·	ΕΖ tabanına eşittir;
γωνία ἄρα ἡ ὑπὸ ΔΑΖ	böylece ΔΑΖ açısı
γωνίᾳ τῇ ὑπὸ ΕΑΖ ἴση ἐστίν.	ΕΑΖ açısına eşittir.
Ἡ ἄρα δοθεῖσα γωνία εὐθύγραμμος	Böylece verilmiş düzkenar açı

ἡ ὑπὸ ΒΑΓ	ΒΑΓ
δίχα τέτμηται	ikiye bölünmüş oldu
ὑπὸ τῆς ΑΖ εὐθείας·	ΑΖ doğrusunca;
ὅπερ ἔδει ποιῆσαι.	yapılması gereken tam buydu.



10. Önerme

Τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην δίχα τεμεῖν.	Verilmiş sınırlı doğruyu ikiye bölmek.
Ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ·	Olsun verilmiş sınırlı doğru ΑΒ.
δεῖ δὴ τὴν ΑΒ εὐθεῖαν πεπερασμένην δίχα τεμεῖν.	O halde gereklidir ΑΒ sınırlı doğrusunu ikiye bölmek.
Συνεστάτω ἐπ᾽ αὐτῆς τρίγωνον ἰσόπλευρον τὸ ΑΒΓ, καὶ τετμήσθω ἡ ὑπὸ ΑΓΒ γωνία δίχα τῇ ΓΔ εὐθείᾳ·	İnşa edilmiş olsun üzerinde ΑΒΓ eşkenar üçgeni, ve bölünmüş olsun ΑΓΒ açısı ikiye ΓΔ doğrusunca.
λέγω, ὅτι ἡ ΑΒ εὐθεῖα δίχα τέτμηται κατὰ τὸ Δ σημεῖον. Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, κοινὴ δὲ ἡ ΓΔ, δύο δὴ αἱ ΑΓ, ΓΔ δύο ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΓΔ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση ἐστίν· βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΒΔ ἴση ἐστίν.	Diyorum ki ΑΒ doğrusu ikiye bölünmüş oldu Δ noktasında. Zira olduğundan ΑΓ ΑΒ kenarına eşit, ve ΓΔ ortak, o halde ΑΓ ve ΓΔ ikilisi ΒΓ, ΓΔ ikilisine eşittir, her biri birine, ve ΑΓΔ açısı ΒΓΔ açısına eşittir; böylece ΑΔ tabanı ΒΔ tabanına eşittir.
Ἡ ἄρα δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ δίχα τέτμηται κατὰ τὸ Δ· ὅπερ ἔδει ποιῆσαι.	Böylece verilmiş sınırlı ΑΒ, Δ noktasında ikiye bölünmüş oldu; yapılması gereken tam buydu.


Γ
A
Δ
B

11. Önerme

Τῇ δοθείσῃ εὐθείᾳ	Verilmiş bir doğruya
ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου	üzerinde verilmiş bir noktadan
πρὸς ὀρθὰς γωνίας	dik açılarda
εὐθεῖαν γραμμὴν ἀγαγεῖν.	bir doğru ilerletmek.
Ἔστω	Olsun
ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ	verilmiş doğru ΑΒ,
τὸ δὲ δοθὲν σημεῖον ἐπ᾽ αὐτῆς τὸ Γ·	ve üzerinde verilmiş nokta Γ.
δεῖ δὴ	O halde gereklidir
ἀπὸ τοῦ Γ σημείου	Γ noktasından
τῇ ΑΒ εὐθείᾳ	ΑΒ doğrusuna
πρὸς ὀρθὰς γωνίας	dik açılarda
εὐθεῖαν γραμμὴν ἀγαγεῖν.	bir doğru ilerletmek.
Εἰλήφθω	alınmış olsun
ἐπὶ τῆς ΑΓ	ΑΓ'da
τυχὸν σημεῖον τὸ Δ,	rastgele bir Δ noktası
καὶ κείσθω	ve otursun
τῇ ΓΔ ἴση ἡ ΓΕ,	ΓΔ'ya eşit olan ΓΕ,
καὶ συνεστάτω	ve inşa edilmiş olsun
ἐπὶ τῆς ΔΕ	ΔΕ üzerinde
τρίγωνον ἰσόπλευρον τὸ ΖΔΕ,	ΖΔΕ eşkenar üçgeni,
καὶ ἐπεζεύχθω ἡ ΖΓ·	ve ΖΓ birleştirilmiş olsun.
λέγω, ὅτι	Diyorum ki
τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ	verilmiş ΑΒ doğrusuna
ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου τοῦ Γ	üzerindeki Γ noktasından
πρὸς ὀρθὰς γωνίας	dik açılarda
εὐθεῖα γραμμὴ ἦκται ἡ ΖΓ.	bir ΖΓ doğrusu ilerletilmiş oldu.
Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΔΓ τῇ ΓΕ,	Zira ΔΓ, ΓΕ'a eşit olduğundan,
κοινὴ δὲ ἡ ΓΖ,	ve ΓΖ ortak olduğundan,
δύο δὴ αἱ ΔΓ, ΓΖ	o halde ΔΓ ve ΓΖ ikilisi,
δυσὶ ταῖς ΕΓ, ΓΖ ἴσαι εἰσὶν	ΕΓ ve ΓΖ ikilisine eşittir,

ἑκατέρα ἑκατέρᾳ·	her biri birine;
καὶ βάσις ἡ ΔΖ	ve ΔΖ tabanı
βάσει τῇ ΖΕ ἴση ἐστίν·	ΖΕ tabanına eşittir;
γωνία ἄρα ἡ ὑπὸ ΔΓΖ	böylece ΔΓΖ açısı
γωνίᾳ τῇ ὑπὸ ΕΓΖ ἴση ἐστίν·	ΕΓΖ açısına eşittir;
καί εἰσιν ἐφεξῆς.	ve bitişiktir.
ὅταν δὲ εὐθεῖα	Ne zaman bir doğru,
ἐπ᾽ εὐθεῖαν σταθεῖσα	bir doğru üzerine dikilmiş,
τὰς ἐφεξῆς γωνίας	bitişik açıları
ἴσας ἀλλήλαις ποιῇ,	birbirine eşit yaparsa,
ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν·	eçit açıların her biri, diktir.
ὀρθὴ ἄρα ἐστὶν	Böylece diktir
ἑκατέρα τῶν ὑπὸ ΔΓΖ, ΖΓΕ.	ΔΓΖ, ΖΓΕ açılarının her biri.
Τῇ ἄρα δοθείσῃ εὐθείᾳ τῇ ΑΒ	Böylece, verilmiş ΑΒ doğrusuna,
ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου τοῦ Γ	üzerinde verilmiş Γ noktasında,
πρὸς ὀρθὰς γωνίας	dik açılarda,
εὐθεῖα γραμμὴ ἦκται ἡ ΓΖ·	bir ΓΖ doğrusu ilerletilmiş oldu;
ὅπερ ἔδει ποιῆσαι.	yapılması gereken tam buydu.



12. Önerme

Ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον	Verilmiş sınırlanmamış doğruya,
ἀπὸ τοῦ δοθέντος σημείου,	verilmiş bir noktadan,
ὅ μή ἐστιν ἐπ᾽ αὐτῆς,	üzerinde olmayan,
κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.	dikey doğru bir çizgi ilerletmek.
Ἔστω	Olsun
ἡ μὲν δοθεῖσα εὐθεῖα ἄπειρος	verilmiş sınırlanmamış doğru
ἡ ΑΒ	AB,
τὸ δὲ δοθὲν σημεῖον,	ve verilmiş nokta,
ὅ μή ἐστιν ἐπ᾽ αὐτῆς,	üzerinde olmayan,
τὸ Γ·	Γ.
δεῖ δή	O halde gereklidir
ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον τὴν ΑΒ	verilmiş sınırlanmamış AB doğrusuna
ἀπὸ τοῦ δοθέντος σημείου τοῦ Γ,	verilmiş Γ noktasından,
ὅ μή ἐστιν ἐπ᾽ αὐτῆς,	üzerinde olmayan,
κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.	dikey doğru bir çizgi ilerletmek.
Εἰλήφθω γὰρ	Zira almış olsun
ἐπὶ τὰ ἕτερα μέρη τῆς ΑΒ εὐθείας	AB doğrusunun diğer tarafında
τυχὸν σημεῖον τὸ Δ,	rastgele bir Δ noktası,
καὶ κέντρῳ μὲν τῷ Γ	ve Γ merkezinde,
διαστήματι δὲ τῷ ΓΔ	ΓΔ uzaklığında,
κύκλος γεγράφθω ὁ ΕΖΗ,	bir EZH dairesi çizilmiş olsun,
καὶ τετμήσθω ἡ ΕΗ εὐθεῖα δίχα κατὰ τὸ Θ,	ve EH doğrusu Θ noktasında ikiye bölünmüş olsun,
καὶ ἐπεζεύχθωσαν	ve birleştirilmiş olsun
αἱ ΓΗ, ΓΘ, ΓΕ εὐθεῖαι·	ΓH, ΓΘ, ve ΓE doğruları.
λέγω, ὅτι	Diyorum ki
ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον τὴν ΑΒ	verilmiş sınırlanmamış AB doğrusuna,
ἀπὸ τοῦ δοθέντος σημείου τοῦ Γ,	verilmiş Γ noktasından,
ὅ μή ἐστιν ἐπ᾽ αὐτῆς,	üzerinde olmayan,

κάθετος ἦκται ἡ ΓΘ.	dikey ΓΘ ilerletilmiş oldu
Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΗΘ τῇ ΘΕ,	Zira ΗΘ, ΘΕ'a eşit olduğundan,
κοινὴ δὲ ἡ ΘΓ,	ve ΘΓ ortak olduğundan,
δύο δὴ αἱ ΗΘ, ΘΓ	o halde ΗΘ ve ΘΓ ikilisi,
δύο ταῖς ΕΘ, ΘΓ ἴσαι εἱσὶν	ΕΘ ve ΘΓ ikilisine eşittir,
ἑκατέρα ἑκατέρᾳ·	her biri birine;
καὶ βάσις ἡ ΓΗ	ve ΓΗ tabanı
βάσει τῇ ΓΕ ἐστιν ἴση·	ΓΕ tabanına eşittir;
γωνία ἄρα ἡ ὑπὸ ΓΘΗ	böylece ΓΘΗ açısı
γωνίᾳ τῇ ὑπὸ ΕΘΓ ἐστιν ἴση.	ΕΘΓ açısına eşittir.
καί εἰσιν ἐφεξῆς.	Ve bitişiktir.
ὅταν δὲ εὐθεῖα	Ne zaman bir doğru,
ἐπ᾽ εὐθεῖαν σταθεῖσα	bir doğru üzerinde dikildiğinde,
τὰς ἐφεξῆς γωνίας	bitişik açıları
ἴσας ἀλλήλαις ποιῇ,	birbirine eşit yaparsa,
ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν,	eşit açıların her biri diktir,
καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα	ve dikilmiş doğruya
κάθετος καλεῖται	dikey denir
ἐφ᾽ ἣν ἐφέστηκεν.	üzerine dikildiği [doğru]ya.

Ἐπὶ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν ἄπειρον τὴν ΑΒ	Böylece, verilmiş sınırlanmamış ΑΒ doğruya,
ἀπὸ τοῦ δοθέντος σημείου τοῦ Γ,	verilmiş Γ noktasından,
ὃ μή ἐστιν ἐπ᾽ αὐτῆς,	üzerinde olmayan,
κάθετος ἦκται ἡ ΓΘ·	dikey ΓΘ, ilerletilmiş oldu;
ὅπερ ἔδει ποιῆσαι.	yapılması gereken tam buydu.



13. Önerme

Ἐὰν εὐθεῖα	Eğer bir doğru,
ἐπ᾽ εὐθεῖαν σταθεῖσα	bir doğrunun üzerine dikilmiş,
γωνίας ποιῇ,	açılar yaparsa,
ἤτοι δύο ὀρθὰς	ya iki dik
ἢ δυσὶν ὀρθαῖς ἴσας	ya da iki dik açıya eşit
ποιήσει.	[onları] yapacak.
Εὐθεῖα γάρ τις ἡ ΑΒ	Zira bir AB doğrusu,
ἐπ᾽ εὐθεῖαν τὴν ΓΔ σταθεῖσα	ΓΔ doğrusunun üzerine dikilmiş,
γωνίας ποιείτω τὰς ὑπὸ ΓΒΑ, ΑΒΔ·	ΓΒΑ ve ΑΒΔ açılarını oluştursun.
λέγω, ὅτι	Diyorum ki
αἱ ὑπὸ ΓΒΑ, ΑΒΔ γωνίαι	ΓΒΑ ve ΑΒΔ açıları
ἤτοι δύο ὀρθαί εἰσιν	ya iki dik açıdır
ἢ δυσὶν ὀρθαῖς ἴσαι.	ya da iki dik açıya eşittir.
Εἰ μὲν οὖν ἴση ἐστὶν	Dolayısıyla eğer eşitse
ἡ ὑπὸ ΓΒΑ τῇ ὑπὸ ΑΒΔ,	ΓΒΑ, ΑΒΔ'ya,
δύο ὀρθαί εἰσιν.	iki dik açıdır.
εἰ δὲ οὔ,	Eğer değilse,
ἤχθω	ilerletilmiş olsun,
ἀπὸ τοῦ Β σημείου	B noktasından,
τῇ ΓΔ [εὐθείᾳ]	ΓΔ doğrusuna,
πρὸς ὀρθὰς	dik [açı]larda,
ἡ ΒΕ·	BE.
αἱ ἄρα ὑπὸ ΓΒΕ, ΕΒΔ	Böylece ΓΒΕ ve ΕΒΔ,
δύο ὀρθαί εἰσιν·	iki diktir;
καὶ ἐπεὶ ἡ ὑπὸ ΓΒΕ	ve ΓΒΕ,
δυσὶ ταῖς ὑπὸ ΓΒΑ, ΑΒΕ	ΓΒΑ ve ΑΒΕ ikilisine
ἴση ἐστίν,	eşit olduğundan,
κοινὴ	ortak olarak
προσκείσθω ἡ ὑπὸ ΕΒΔ·	ΕΒΔ, eklensin.
αἱ ἄρα ὑπὸ ΓΒΕ, ΕΒΔ	Böylece ΓΒΕ ve ΕΒΔ,

τρισὶ ταῖς ὑπὸ ΓΒΑ, ΑΒΕ, ΕΒΔ	ΓΒΑ, ΑΒΕ ve ΕΒΔ üçlüsüne
ἴσαι εἰσίν.	eşittir.
πάλιν,	Yine
ἐπεὶ ἡ ὑπὸ ΔΒΑ	ΔΒΑ,
δυσὶ ταῖς ὑπὸ ΔΒΕ, ΕΒΑ	ΔΒΕ ve ΕΒΑ ikilisine
ἴση ἐστίν,	eşit olduğundan,
κοινὴ	ortak olarak
προσκείσθω ἡ ὑπὸ ΑΒΓ·	ΑΒΓ, eklensin;
αἱ ἄρα ὑπὸ ΔΒΑ, ΑΒΓ	böylece ΔΒΑ ve ΑΒΓ,
τρισὶ ταῖς ὑπὸ ΔΒΕ, ΕΒΑ, ΑΒΓ	ΔΒΕ, ΕΒΑ ve ΑΒΓ üçlüsüne
ἴσαι εἰσίν.	eşittir.
ἐδείχθησαν δὲ καὶ	Ve ayrıca gösterilmişti
αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ	ΓΒΕ ve ΕΒΔ’nın
τρισὶ ταῖς αὐταῖς ἴσαι·	aynı üçlüye eşitliği.
τὰ δὲ τῷ αὐτῷ ἴσα	Ve aynı şeye eşitler
καὶ ἀλλήλοις ἐστὶν ἴσα·	birbirine de eşittir;
καὶ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ ἄρα	ve, böylece, ΓΒΕ ve ΕΒΔ,
ταῖς ὑπὸ ΔΒΑ, ΑΒΓ ἴσαι εἰσίν·	ΔΒΑ ve ΑΒΓ’ya eşittir;
ἀλλὰ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ	ama ΓΒΕ ve ΕΒΔ,
δύο ὀρθαί εἰσιν·	iki diktir;
καὶ αἱ ὑπὸ ΔΒΑ, ΑΒΓ ἄρα	ve böylece ΔΒΑ ve ΑΒΓ
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.	iki dik açıya eşittir.

Ἐὰν ἄρα εὐθεῖα	Eğer, böylece, bir doğru,
ἐπ᾿ εὐθεῖαν σταθεῖσα	bir doğrunun üzerine dikilmiş,
γωνίας ποιῇ,	açılar yaparsa,
ἤτοι δύο ὀρθὰς	ya iki dik
ἢ δυσὶν ὀρθαῖς ἴσας	ya da iki dik açıya eşit
ποιήσει·	[onları] yapacak;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



14. Önerme

Ἐὰν πρός τινι εὐθείᾳ	Eğer bir doğruya,
καὶ τῷ πρὸς αὐτῇ σημείῳ	ve aynı noktasında,
δύο εὐθεῖαι	iki doğru,
μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι	aynı tarafında uzanmayan,
τὰς ἐφεξῆς γωνίας	bitişik açıları
δυσὶν ὀρθαῖς ἴσας	iki dik açıya eşit
ποιῶσιν,	yaparsa,
ἐπ᾿ εὐθείας	bir doğruda
ἔσονται ἀλλήλαις	birbiriyle olacak
αἱ εὐθεῖαι.	doğrular.
Πρὸς γάρ τινι εὐθείᾳ τῇ ΑΒ	Zira bir ΑΒ doğrusuna,
καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β	ve Β noktasında,
δύο εὐθεῖαι αἱ ΒΓ, ΒΔ	iki ΒΓ ve ΒΔ doğruları,
μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι	aynı tarafında uzanmayan,
τὰς ἐφεξῆς γωνίας τὰς ὑπὸ ΑΒΓ, ΑΒΔ	bitişik ΑΒΓ ve ΑΒΔ açıları
δύο ὀρθαῖς ἴσας	iki dik açıya eşit
ποιείτωσαν·	yapsın.
λέγω, ὅτι	Diyorum ki
ἐπ᾿ εὐθείας ἐστὶ	bir doğrudadır
τῇ ΓΒ ἡ ΒΔ.	ΓΒ ile ΒΔ.
Εἰ γὰρ μή ἐστι	Zira eğer değilse
τῇ ΒΓ ἐπ᾿ εὐθείας	ΒΓ ile bir doğruda
ἡ ΒΔ,	ΒΔ,
ἔστω	olsun
τῇ ΓΒ ἐπ᾿ εὐθείας	ΒΓ ile bir doğruda
ἡ ΒΕ.	ΒΕ.
Ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΒ	Dolayısıyla ΑΒ doğrusu
ἐπ᾿ εὐθεῖαν τὴν ΓΒΕ ἐφέστηκεν,	ΓΒΕ doğrusunun üzerine konulduğundan,
αἱ ἄρα ὑπὸ ΑΒΓ, ΑΒΕ γωνίαι	böylece ΑΒΓ ve ΑΒΕ açıları
δύο ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir.

εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΑΒΓ, ΑΒΔ	ΑΒΓ ve ΑΒΔ da
δύο ὀρθαῖς ἴσαι·	iki dik açıya eşittir.
αἱ ἄρα ὑπὸ ΓΒΑ, ΑΒΕ	Böylece ΓΒΑ ve ΑΒΕ,
ταῖς ὑπὸ ΓΒΑ, ΑΒΔ ἴσαι εἰσίν.	ΓΒΑ ve ΑΒΔ’ya eşittir.
κοινὴ	Ortak olarak
ἀφῃρήσθω ἡ ὑπὸ ΓΒΑ·	ΓΒΑ çıkartılmiş olsun.
λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΕ	Böylece ΑΒΕ kalanı
λοιπῇ τῇ ὑπὸ ΑΒΔ ἐστιν ἴση,	ΑΒΔ kalanına eşittir,
ἡ ἐλάσσων τῇ μείζονι·	küçük olan büyüğe;
ὅπερ ἐστὶν ἀδύνατον.	ki bu imkânsızdır.
οὐκ ἄρα	Böylece değildir
ἐπ᾽ εὐθείας ἐστὶν ἡ ΒΕ τῇ ΓΒ.	bir doğruda ΒΕ, ΓΒ ile.
ὁμοίως δὴ δείξομεν,	Benzer şekilde o halde göstereceğiz
ὅτι	ki
οὐδὲ ἄλλη τις πλὴν τῆς ΒΔ·	hiçbiri [öyle değildir], ΒΔ dışında.
ἐπ᾽ εὐθείας ἄρα ἐστὶν	Böylece bir doğrudadır
ἡ ΓΒ τῇ ΒΔ.	ΓΒ, ΒΔ ile.
Ἐὰν ἄρα πρός τινι εὐθείᾳ	Eğer, böylece, bir doğruya,
καὶ τῷ πρὸς αὐτῇ σημείῳ	ve aynı noktasında,
δύο εὐθεῖαι	iki doğru,
μὴ ἐπὶ αὐτὰ μέρη κείμεναι	aynı tarafında uzanmayan,
τὰς ἐφεξῆς γωνίας	bitişik açıları
δυσὶν ὀρθαῖς ἴσας	iki dik açıya eşit
ποιῶσιν,	yaparsa,
ἐπ᾽ εὐθείας	bir doğruda
ἔσονται ἀλλήλαις	birbiriyle olacak
αἱ εὐθεῖαι·	doğrular;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



15. Önerme

Ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας,	Eğer iki doğru birbirini keserse,
τὰς κατὰ κορυφὴν γωνίας	ters açıları[17]
ἴσας ἀλλήλαις ποιοῦσιν.	birbirine eşit yapar.
Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΓΔ	Zira ΑΒ ve ΓΔ doğruları
τεμνέτωσαν ἀλλήλας	birbirini kessin
κατὰ τὸ Ε σημεῖον·	Ε noktasında.
λέγω, ὅτι	Diyorum ki
ἴση ἐστὶν	eşittir
ἡ μὲν ὑπὸ ΑΕΓ γωνία τῇ ὑπὸ ΔΕΒ,	ΑΕΓ, ΔΕΒ'ya,
ἡ δὲ ὑπὸ ΓΕΒ τῇ ὑπὸ ΑΕΔ.	ve ΓΕΒ, ΑΕΔ'ya.
Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΑΕ	Zira ΑΕ doğrusu
ἐπ᾿ εὐθεῖαν τὴν ΓΔ	ΓΔ doğrusuna
ἐφέστηκε	dikilmiş olduğundan,
γωνίας ποιοῦσα τὰς ὑπὸ ΓΕΑ, ΑΕΔ,	ΓΕΑ ve ΑΕΔ açılarını yapan,
αἱ ἄρα ὑπὸ ΓΕΑ, ΑΕΔ γωνίαι	böylece ΓΕΑ ve ΑΕΔ açıları
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.	iki dik açıya eşittir.
πάλιν,	Yine,
ἐπεὶ εὐθεῖα ἡ ΔΕ	ΔΕ doğrusu
ἐπ᾿ εὐθεῖαν τὴν ΑΒ	ΑΒ doğrusuna
ἐφέστηκε	dikilmiş olduğundan,
γωνίας ποιοῦσα τὰς ὑπὸ ΑΕΔ, ΔΕΒ,	ΑΕΔ ve ΔΕΒ açılarını yapan,
αἱ ἄρα ὑπὸ ΑΕΔ, ΔΕΒ γωνίαι	böylece ΑΕΔ ve ΔΕΒ açıları
δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.	iki dik açıya eşittir.
ἐδείχθησαν δὲ καὶ	Ve gösterilmişti
αἱ ὑπὸ ΓΕΑ, ΑΕΔ	ΓΕΑ ve ΑΕΔ açılarının
δυσὶν ὀρθαῖς ἴσαι·	iki dik açıya eşitliği,
αἱ ἄρα ὑπὸ ΓΕΑ, ΑΕΔ	böylece ΓΕΑ ve ΑΕΔ,
ταῖς ὑπὸ ΑΕΔ, ΔΕΒ ἴσαι εἰσίν.	ΑΕΔ ve ΔΕΒ'ya eşittir.
κοινὴ	Ortak olarak
ἀφῃρήσθω	çıkartılmış olsun

[17]Yunancada *baştaki açılar.*

ἡ ὑπὸ ΑΕΔ·	ΑΕΔ;
λοιπὴ ἄρα ἡ ὑπὸ ΓΕΑ	böylece ΓΕΑ kalanı,
λοιπῇ τῇ ὑπὸ ΒΕΔ ἴση ἐστίν·	ΒΕΔ kalanına eşittir;
ὁμοίως δὴ δειχθήσεται,	benzer şekilde o halde gösterilecek
ὅτι	ki
καὶ αἱ ὑπὸ ΓΕΒ, ΔΕΑ ἴσαι εἰσίν.	ΓΕΒ açısı da ΔΕΑ açısına eşittir.
Ἐὰν ἄρα	Eğer, böylece,
δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας,	iki doğru birbirini keserse,
τὰς κατὰ κορυφὴν γωνίας	ters açıları
ἴσας ἀλλήλαις ποιοῦσιν·	birbirine eşit yapar;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



16. Önerme

Παντὸς τριγώνου	Herhangi bir üçgenin
μιᾶς τῶν πλευρῶν προσεκβληθείσης	kenarlarının biri uzatılınca,
ἡ ἐκτὸς γωνία	dış açı,
ἑκατέρας	her birinden
τῶν ἐντὸς καὶ ἀπεναντίον γωνιῶν	(iç ve karşıt açıların)
μείζων ἐστίν.	büyüktür.
Ἔστω	Olsun
τρίγωνον τὸ ΑΒΓ,	üçgen ΑΒΓ,
καὶ προσεκβεβλήσθω	ve uzatılmış olsun
αὐτοῦ μία πλευρὰ ἡ ΒΓ ἐπὶ τὸ Δ·	onun ΒΓ kenarı, Δ noktasına.
λὲγω, ὅτι	Diyorum ki
ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΓΔ	ΑΓΔ dış açısı
μείζων ἐστὶν	büyüktür
ἑκατέρας	her birinden
τῶν ἐντὸς καὶ ἀπεναντίον	iç ve karşıt
τῶν ὑπὸ ΓΒΑ, ΒΑΓ γωνιῶν.	ΓΒΑ ve ΒΑΓ açılarının.
Τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Ε,	ΑΓ kenarı, Ε noktasından ikiye bölünmüş olsun,
καὶ ἐπιζευχθεῖσα ἡ ΒΕ	ve, ΒΕ birleştirilince,
ἐκβεβλήσθω ἐπ᾽ εὐθείας ἐπὶ τὸ Ζ,	bir doğruda, Ζ noktasına, uzatılmış olsun
καὶ κείσθω τῇ ΒΕ ἴση	ve ΒΕ doğrusuna eşit olan otursun
ἡ ΕΖ,	ΕΖ,
καὶ ἐπεζεύχθω ἡ ΖΓ,	ve birleştirilmiş olsun ΖΓ,
καὶ διήχθω ἡ ΑΓ ἐπὶ τὸ Η.	ve ΑΓ doğrusu, Η noktasına ilerletilmiş olsun.
Ἐπεὶ οὖν ἴση ἐστὶν	Dolayısıyla eşit olduğundan
ἡ μὲν ΑΕ τῇ ΕΓ,	ΑΕ, ΕΓ doğrusuna,
ἡ δὲ ΒΕ τῇ ΕΖ,	ve ΒΕ, ΕΖ doğrusuna,
δύο δὴ αἱ ΑΕ, ΕΒ	o halde ΑΕ ve ΕΒ ikilisi,
δυσὶ ταῖς ΓΕ, ΕΖ ἴσαι εἰσὶν	ΓΕ ve ΕΖ ikilisine eşittir,

ἑκατέρα ἑκατέρᾳ·	her biri birine;
καὶ γωνία ἡ ὑπὸ ΑΕΒ	ve ΑΕΒ açısı,
γωνίᾳ τῇ ὑπὸ ΖΕΓ ἴση ἐστίν·	ΖΕΓ açısına eşittir,
κατὰ κορυφὴν γάρ·	zira ters;
βάσις ἄρα ἡ ΑΒ	böylece ΑΒ tabanı
βάσει τῇ ΖΓ ἴση ἐστίν,	ΖΓ tabanına eşittir,
καὶ τὸ ΑΒΕ τρίγωνον	ve ΑΒΕ üçgeni
τῷ ΖΕΓ τριγώνῳ ἐστὶν ἴσον,	ΖΕΓ üçgenine eşittir,
καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar
ταῖς λοιπαῖς γωνίαις ἴσαι εἰσὶν	kalan açılarına eşittir,
ἑκατέρα ἑκατέρᾳ,	her biri birine,
ὑφ’ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν·	(yani) eşit kenarları raptedenler.
ἴση ἄρα ἐστὶν	Böylece eşittir
ἡ ὑπὸ ΒΑΕ τῇ ὑπὸ ΕΓΖ.	ΒΑΕ, ΕΓΖ’ya.
μείζων δέ ἐστιν	Ama büyüktür
ἡ ὑπὸ ΕΓΔ τῆς ὑπὸ ΕΓΖ·	ΕΓΔ, ΕΓΖ açısından;
μείζων ἄρα	böylece büyüktür
ἡ ὑπὸ ΑΓΔ τῆς ὑπὸ ΒΑΕ.	ΑΓΔ, ΒΑΕ açısından.
Ὁμοίως δὴ	Benzer şekilde o halde
τῆς ΒΓ τετμημένης δίχα	ikiye bölünmüş olduğundan ΒΓ,
δειχθήσεται καὶ ἡ ὑπὸ ΒΓΗ,	gösterilecek ki ΒΓΗ,
τουτέστιν ἡ ὑπὸ ΑΓΔ,	ΑΓΔ açısına eşit olan,
μείζων καὶ τῆς ὑπὸ ΑΒΓ.	büyüktür ΑΒΓ açısından da.

Παντὸς ἄρα τριγώνου	Böylece, herhangi bir üçgenin,
μιᾶς τῶν πλευρῶν	kenarlarından biri
προσεκβληθείσης	uzatıldığında,
ἡ ἐκτὸς γωνία	dış açı
εκατέρας	her bir
τῶν ἐντὸς καὶ ἀπεναντίον γωνιῶν	iç ve karşıt açıdan
μείζων ἐστίν·	büyüktür;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



17. Önerme

Παντὸς τριγώνου αἱ δύο γωνίαι	Herhangi bir üçgenin iki açısı
δύο ὀρθῶν ἐλάσσονές εἰσι	küçüktür iki dik açıdan,
πάντῃ μεταλαμβανόμεναι.	nasıl alınırsa alınsın.
Ἔστω	Olsun
τρίγωνον τὸ ΑΒΓ·	üçgen ΑΒΓ.
Λέγω, ὅτι	Diyorum ki
τοῦ ΑΒΓ τριγώνου	ΑΒΓ üçgeninin
αἱ δύο γωνίαι	iki açısı
δύο ὀρθῶν ἐλάττονές εἰσι	küçüktür iki dik açıdan,
πάντῃ μεταλαμβανόμεναι.	nasıl alınırsa alınsın.
Ἐκβεβλήσθω γὰρ	Zira uzatılmış olsun
ἡ ΒΓ ἐπὶ τὸ Δ.	ΒΓ, Δ'ya.
καὶ ἐπεὶ τριγώνου τοῦ ΑΒΓ	Ve ΑΒΓ üçgeninin
ἐκτός ἐστι γωνία	dış açısı olduğundan
ἡ ὑπὸ ΑΓΔ,	ΑΓΔ
μείζων ἐστὶ	büyüktür
τῆς ἐντὸς καὶ ἀπεναντίον	iç ve karşıt
τῆς ὑπὸ ΑΒΓ.	ΑΒΓ açısından.
κοινὴ	Ortak olarak
προσκείσθω ἡ ὑπὸ ΑΓΒ·	ΑΓΒ, eklensin;
αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ	böylece ΑΓΔ ve ΑΓΒ,
τῶν ὑπὸ ΑΒΓ, ΒΓΑ μείζονές εἰσιν.	ΑΒΓ ve ΒΓΑ'dan büyüktür.
ἀλλ' αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ	Ama ΑΓΔ ve ΑΓΒ,
δύο ὀρθαῖς ἴσαι εἰσίν·	iki dik açıya eşittir;
αἱ ἄρα ὑπὸ ΑΒΓ, ΒΓΑ	böylece ΑΒΓ ve ΒΓΑ,
δύο ὀρθῶν ἐλάσσονές εἰσιν.	iki dik açıdan küçüktür.
ὁμοίως δὴ δείξομεν,	Benzer şekilde o halde göstereceğiz
ὅτι	ki
καὶ αἱ ὑπὸ ΒΑΓ, ΑΓΒ	ΒΑΓ ve ΑΓΒ de
δύο ὀρθῶν ἐλάσσονές εἰσι	iki dik açıdan küçüktür,
καὶ ἔτι αἱ ὑπὸ ΓΑΒ, ΑΒΓ.	ve sonra ΓΑΒ ve ΑΒΓ [öyledir].

Παντὸς ἄρα τριγώνου
αἱ δύο γωνίαι
δύο ὀρθῶν ἐλάσσονές εἰσι
πάντῃ μεταλαμβανόμεναι·
ὅπερ ἔδει δεῖξαι.

Böylece herhangi bir üçgenin
iki açısı
iki dik açıdan küçüktür,
nasıl alınırsa alınsın;
gösterilmesi gereken tam buydu.



18. Önerme

Παντὸς τριγώνου	Herhangi bir üçgende
ἡ μείζων πλευρὰ	daha büyük bir kenar,
τὴν μείζονα γωνίαν	daha büyük bir açıyı
ὑποτείνει.	rapteder.
Ἔστω γὰρ	Zira olsun
τρίγωνον τὸ ΑΒΓ	üçgen ΑΒΓ,
μείζονα ἔχον	daha büyük olan
τὴν ΑΓ πλευρὰν	ΑΓ kenarı
τῆς ΑΒ·	ΑΒ'dan.
λέγω, ὅτι	Diyorum ki
καὶ γωνία ἡ ὑπὸ ΑΒΓ	ΑΒΓ açısı da
μείζων ἐστὶ	daha büyüktür
τῆς ὑπὸ ΒΓΑ·	ΒΓΑ açısından.
Ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ ΑΓ τῆς ΑΒ,	Zira ΑΓ, ΑΒ kenarından daha büyük olduğundan,
κείσθω	otursun
τῇ ΑΒ ἴση ἡ ΑΔ,	ΑΒ'ya eşit olan ΑΔ,
καὶ ἐπεζεύχθω ἡ ΒΔ.	ve birleştirilmiş olsun ΒΔ.
καὶ ἐπεὶ τριγώνου τοῦ ΒΓΔ	ΒΓΔ üçgeninin
ἐκτός ἐστι γωνία ἡ ὑπὸ ΑΔΒ,	dış açı olduğundan ΑΔΒ açısı da,
μείζων ἐστὶ	büyüktür
τῆς ἐντὸς καὶ ἀπεναντίον	iç ve karşıt
τῆς ὑπὸ ΔΓΒ·	ΔΓΒ açısından;
ἴση δὲ ἡ ὑπὸ ΑΔΒ τῇ ὑπὸ ΑΒΔ,	ve ΑΔΒ, ΑΒΔ'ya eşittir,
ἐπεὶ καὶ πλευρὰ ἡ ΑΒ	ΑΒ kenarı da,
τῇ ΑΔ ἐστιν ἴση·	ΑΔ'ya eşit olduğundan;
μείζων ἄρα	böylece büyüktür
καὶ ἡ ὑπὸ ΑΒΔ τῆς ὑπὸ ΑΓΒ·	ΑΒΔ da, ΑΓΒ'dan;
πολλῷ ἄρα ἡ ὑπὸ ΑΒΓ μείζων ἐστὶ τῆς ὑπὸ ΑΓΒ.	böylece ΑΒΓ, ΑΓΒ açısından çok daha büyüktür.

Παντὸς ἄρα τριγώνου
ἡ μείζων πλευρὰ
τὴν μείζονα γωνίαν
ὑποτείνει·
ὅπερ ἔδει δεῖξαι.

Böylece, herhangi bir üçgende
daha büyük bir kenar,
daha büyük bir açıyı
rapteder;
gösterilmesi gereken tam buydu.



19. Önerme

Παντὸς τριγώνου
ὑπὸ τὴν μείζονα γωνίαν
ἡ μείζων πλευρὰ
ὑποτείνει.

Herhangi bir üçgende,
daha büyük bir açı,
daha büyük bir kenar tarafından
raptedilir.

Ἔστω γὰρ
τρίγωνον τὸ ΑΒΓ
μείζονα ἔχον
τὴν ὑπὸ ΑΒΓ γωνίαν
τῆς ὑπὸ ΒΓΑ·

Zira olsun
bir ΑΒΓ üçgeni,
daha büyük olan
ΑΒΓ açısı
ΒΓΑ açısından.

λέγω, ὅτι
καὶ πλευρὰ ἡ ΑΓ
πλευρᾶς τῆς ΑΒ
μείζων ἐστίν.

Diyorum ki
ΑΓ kenarı da
ΑΒ kenarından
daha büyüktür.

Εἰ γὰρ μή,
ἤτοι ἴση ἐστὶν
ἡ ΑΓ τῇ ΑΒ
ἢ ἐλάσσων·
ἴση μὲν οὖν οὐκ ἔστιν
ἡ ΑΓ τῇ ΑΒ·
ἴση γὰρ ἂν ἦν
καὶ γωνία ἡ ὑπὸ ΑΒΓ
τῇ ὑπὸ ΑΓΒ·
οὐκ ἔστι δέ·
οὐκ ἄρα ἴση ἐστὶν
ἡ ΑΓ τῇ ΑΒ.
οὐδὲ μὴν ἐλάσσων ἐστὶν
ἡ ΑΓ τῆς ΑΒ·
ἐλάσσων γὰρ ἂν ἦν καὶ
γωνία ἡ ὑπὸ ΑΒΓ
τῆς ὑπὸ ΑΓΒ·
οὐκ ἔστι δέ·
οὐκ ἄρα ἐλάσσων ἐστὶν

Zira değil ise,
ya eşittir
ΑΓ, ΑΒ'ya
ya da daha küçüktür.
Ama dolayısıyla eşit değildir
ΑΓ, ΑΒ'ya;
zira eğer eşit olsaydı,
ΑΒΓ açısı da,
ΑΓΒ'ya [eşit olurdu];
ama değildir;
böylece eşit değildir
ΑΓ, ΑΒ'ya.
Tabii ki küçük değildir
ΑΓ, ΑΒ'dan;
zira eğer küçük olsaydı,
ΑΒΓ açısı da
ΑΓΒ'dan [küçük olurdu];
ama değildir;
böylece küçük değildir

ἡ ΑΓ τῆς ΑΒ.
ἐδείχθη δέ, ὅτι
οὐδὲ ἴση ἐστίν.
μείζων ἄρα ἐστὶν
ἡ ΑΓ τῆς ΑΒ.

Παντὸς ἄρα τριγώνου
ὑπὸ τὴν μείζονα γωνίαν
ἡ μείζων πλευρὰ
ὑποτείνει·
ὅπερ ἔδει δεῖξαι.

ΑΓ, ΑΒ'dan.
Ve gösterilmişti ki
eşit değildir.
Böylece daha büyüktür
ΑΓ, ΑΒ'dan.

Böylece, herhangi bir üçgende,
daha büyük bir açı,
daha büyük bir kenar tarafından
raptedilir;
gösterilmesi gereken tam buydu.



20. Önerme

Παντὸς τριγώνου
αἱ δύο πλευραὶ
τῆς λοιπῆς μείζονές εἰσι
πάντῃ μεταλαμβανόμεναι.

Herhangi bir üçgenin
iki kenarı
kalandan daha büyüktür,
nasıl alınırsa alınsın.

Ἔστω γὰρ
τρίγωνον τὸ ΑΒΓ·

Zira olsun
üçgen ΑΒΓ.

λέγω, ὅτι
τοῦ ΑΒΓ τριγώνου αἱ δύο πλευραὶ
τῆς λοιπῆς μείζονές εἰσι
πάντῃ μεταλαμβανόμεναι,
αἱ μὲν ΒΑ, ΑΓ τῆς ΒΓ,
αἱ δὲ ΑΒ, ΒΓ τῆς ΑΓ,
αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.

Diyorum ki
ΑΒΓ üçgeninin iki kenarı
kalandan daha büyüktür,
nasıl alınırsa alınsın,
ΒΑ ve ΑΓ, ΒΓ'dan,
ve ΑΒ ve ΒΓ, ΑΓ'dan,
ve ΒΓ ve ΓΑ, ΑΒ'dan.

Διήχθω γὰρ
ἡ ΒΑ ἐπὶ τὸ Δ σημεῖον,
καὶ κείσθω τῇ ΓΑ ἴση ἡ ΑΔ,
καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Zira ilerletilmiş olsun
ΒΑ, Δ noktasına,
ve ΑΔ, ΓΑ'ya eşit otursun,
ve ΔΓ birleştirilmiş olsun.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΓ,

Dolayısıyla ΔΑ, ΑΓ'ya eşit olduğundan,

ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΔΓ
τῇ ὑπὸ ΑΓΔ·
μείζων ἄρα ἡ ὑπὸ ΒΓΔ
τῆς ὑπὸ ΑΔΓ·
καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΔΓΒ
μείζονα ἔχον τὴν ὑπὸ ΒΓΔ γωνίαν
τῆς ὑπὸ ΒΔΓ,
ὑπὸ δὲ τὴν μείζονα γωνίαν
ἡ μείζων πλευρὰ
ὑποτείνει,
ἡ ΔΒ ἄρα τῆς ΒΓ ἐστι μείζων.
ἴση δὲ ἡ ΔΑ τῇ ΑΓ·

ΑΔΓ de eşittir
ΑΓΔ'y.
Böylece ΒΓΔ, büyüktür
ΑΔΓ'dan.
ΔΓΒ üçgeninde,
ΒΓΔ açısı daha büyük olduğundan
ΒΔΓ'dan,
ve daha büyük açı,
daha büyük kenarca
raptedildiğinden,
böylece ΔΒ, ΒΓ'dan büyüktür.
Ve ΔΑ, ΑΓ'ya eşittir;

μείζονες ἄρα αἱ ΒΑ, ΑΓ
τῆς ΒΓ·
ὁμοίως δὴ δείξομεν, ὅτι
καὶ αἱ μὲν ΑΒ, ΒΓ τῆς ΓΑ
μείζονές εἰσιν,
αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.

böylece ΒΑ ve ΑΓ büyüktür
ΒΓ'dan;
benzer şekilde göstereceğiz ki
ΑΒ ve ΒΓ, ΓΑ'dan
büyüktür,
ve ΒΓ ve ΓΑ, ΑΒ'dan.

Παντὸς ἄρα τριγώνου
αἱ δύο πλευραὶ
τῆς λοιπῆς μείζονές εἰσι
πάντῃ μεταλαμβανόμεναι·
ὅπερ ἔδει δεῖξαι.

Böylece, herhangi bir üçgenin
iki kenarı
kalandan daha büyüktür,
nasıl alınırsa alınsın;
gösterilmesi gereken tam buydu.



21. Önerme

Ἐὰν τριγώνου	Eğer bir üçgende,
ἐπὶ μιᾶς τῶν πλευρῶν	kenarlarından birinin üzerinde,
ἀπὸ τῶν περάτων	sınırlardan,
δύο εὐθεῖαι	iki doğru
ἐντὸς συσταθῶσιν,	içeride inşa edilirse,
αἱ συσταθεῖσαι	inşa edilmiş doğrular,
τῶν λοιπῶν τοῦ τριγώνου	üçgenin kalan
δύο πλευρῶν	iki kenarından
ἐλάττονες μὲν ἔσονται,	daha küçük olacak,
μείζονα δὲ γωνίαν περιέξουσιν.	ama daha büyük bir açıyı içerecek.



Τριγώνου γὰρ τοῦ ΑΒΓ	Zira ΑΒΓ üçgeninin,
ἐπὶ μιᾶς τῶν πλευρῶν τῆς ΒΓ	ΒΓ kenarının üzerinde
ἀπὸ τῶν περάτων τῶν Β, Γ	Β ve Γ sınırlarından,
δύο εὐθεῖαι ἐντὸς συνεστάτωσαν αἱ ΒΔ, ΔΓ·	içeride iki ΒΔ ve ΔΓ doğruları inşa edilmiş olsun.

λέγω, ὅτι	Diyorum ki
αἱ ΒΔ, ΔΓ	ΒΔ ve ΔΓ
τῶν λοιπῶν τοῦ τριγώνου	üçgenin kalan iki
δύο πλευρῶν τῶν ΒΑ, ΑΓ	ΒΑ ve ΑΓ kenarından,
ἐλάσσονες μέν εἰσιν,	daha küçüktür,
μείζονα δὲ γωνίαν περιέχουσι	ama daha büyük açıyı içerir:
τὴν ὑπὸ ΒΔΓ τῆς ὑπὸ ΒΑΓ.	ΒΔΓ, ΒΑΓ’dan [daha büyüktür].

Διήχθω γὰρ ἡ ΒΔ
ἐπὶ τὸ Ε.

καὶ ἐπεὶ παντὸς τριγώνου
αἱ δύο πλευραὶ τῆς λοιπῆς
μείζονές εἰσιν,
τοῦ ΑΒΕ ἄρα τριγώνου
αἱ δύο πλευραὶ αἱ ΑΒ, ΑΕ
τῆς ΒΕ μείζονές εἰσιν·
κοινὴ προσκείσθω ἡ ΕΓ·
αἱ ἄρα ΒΑ, ΑΓ
τῶν ΒΕ, ΕΓ μείζονές εἰσιν.
πάλιν, ἐπεὶ τοῦ ΓΕΔ τριγώνου
αἱ δύο πλευραὶ αἱ ΓΕ, ΕΔ
τῆς ΓΔ μείζονές εἰσιν,
κοινὴ προσκείσθω ἡ ΔΒ·
αἱ ΓΕ, ΕΒ ἄρα
τῶν ΓΔ, ΔΒ μείζονές εἰσιν.
ἀλλὰ τῶν ΒΕ, ΕΓ
μείζονες ἐδείχθησαν
αἱ ΒΑ, ΑΓ·
πολλῷ ἄρα αἱ ΒΑ, ΑΓ τῶν ΒΔ, ΔΓ
μείζονές εἰσιν.

Πάλιν,
ἐπεὶ παντὸς τριγώνου ἡ ἐκτὸς γωνία
τῆς ἐντὸς καὶ ἀπεναντίον
μείζων ἐστίν,
τοῦ ΓΔΕ ἄρα τριγώνου
ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΔΓ
μείζων ἐστὶ τῆς ὑπὸ ΓΕΔ.
διὰ ταὐτὰ τοίνυν
καὶ τοῦ ΑΒΕ τριγώνου
ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΓΕΒ
μείζων ἐστὶ τῆς ὑπὸ ΒΑΓ.
ἀλλὰ τῆς ὑπὸ ΓΕΒ
μείζων ἐδείχθη
ἡ ὑπὸ ΒΔΓ·

Zira ΒΔ, ilerletilmiş olsun
Ε'a doğru.

Ve herhangi bir üçgenin
iki kenarı, kalandan
büyük olduğundan,
ΑΒΕ üçgeninin,
iki ΑΒ ve ΑΕ kenarları,
ΒΕ kenarından büyüktür;
ortak olarak ΕΓ eklensin;
böylece ΒΑ ve ΑΓ,
ΒΕ ve ΕΓ'dan büyüktür.
Yine, ΓΕΔ üçgeninin,
iki ΓΕ ve ΕΔ kenarları,
ΓΔ'dan büyük olduğundan,
ortak olarak ΔΒ eklenmiş olsun;
böylece ΓΕ ve ΕΒ,
ΓΔ ve ΔΒ'dan büyüktür.
Ama ΒΕ ve ΕΓ'dan
daha büyük gösterilmişti
ΒΑ ve ΑΓ;
böylece ΒΑ ve ΑΓ, ΒΔ ve ΔΓ'dan çok
daha büyüktür.

Yine,
herhangi bir üçgenin dış açısı
iç ve karşıt açısından
daha büyüktür,
böylece, ΓΔΕ üçgeninin
dış açısı ΒΔΓ
ΓΕΔ'dan büyüktür.
Aynı sebeple elbette,
ΑΒΕ üçgeninin
ΓΕΒ dış açısı da
ΒΑΓ'dan büyüktür.
Ama ΓΕΒ'dan,
daha büyük gösterilmişti
ΒΔΓ;

πολλῷ ἄρα ἡ ὑπὸ ΒΔΓ μείζων ἐστὶ τῆς ὑπὸ ΒΑΓ.

böylece ΒΔΓ, ΒΑΓ'dan çok daha büyüktür.

Ἐὰν ἄρα τριγώνου
ἐπὶ μιᾶς τῶν πλευρῶν
ἀπὸ τῶν περάτων
δύο εὐθεῖαι
ἐντὸς συσταθῶσιν,
αἱ συσταθεῖσαι
τῶν λοιπῶν τοῦ τριγώνου
δύο πλευρῶν
ἐλάττονες μέν εἰσιν,
μείζονα δὲ γωνίαν περιέχουσιν·
ὅπερ ἔδει δεῖξαι.

Eğer, böylece, bir üçgenin,
kenarlarından birinin
sınırlarından,
iki doğru
içeride inşa edilirse,
inşa edilen doğrular,
üçgenin kalan
iki kenarından
daha küçüktür,
ama daha büyük bir açıyı içerir;
gösterilmesi gereken tam buydu.



22. Önerme

Ἐκ τριῶν εὐθειῶν,	Üç doğrudan,
αἵ εἰσιν ἴσαι	eşit olan
τρισὶ ταῖς δοθείσαις [εὐθείαις],	verilmiş üç doğruya,
τρίγωνον συστήσασθαι·	bir üçgen inşa etmek;
δεῖ δὲ[18]	ama gereklidir
τὰς δύο τῆς λοιπῆς μείζονας εἶναι	ikisinin, kalandan büyük olması,
πάντῃ μεταλαμβανομένας	nasıl alınırsa alınsın,
[διὰ τὸ καὶ παντὸς τριγώνου	çünkü herhangi bir üçgenin,
τὰς δύο πλευρὰς	iki kenarı
τῆς λοιπῆς μείζονας εἶναι	kalandan büyüktür,
πάντῃ μεταλαμβανομένας].	nasıl alınırsa alınsın.
Ἔστωσαν	Olsun
αἱ δοθεῖσαι τρεῖς εὐθεῖαι αἱ Α, Β, Γ,	üç verilmiş doğru Α, Β, ve Γ,
ὧν αἱ δύο τῆς λοιπῆς	ve ikisi, kalandan
μείζονες ἔστωσαν	büyük olsun,
πάντῃ μεταλαμβανόμεναι,	nasıl alınırsa alınsın:
αἱ μὲν Α, Β τῆς Γ,	Α ile Β, Γ'dan,
αἱ δὲ Α, Γ τῆς Β,	Α ile Γ, Β'dan,
καὶ ἔτι αἱ Β, Γ τῆς Α·	ve Β ile Γ, Α'dan.
δεῖ δή	O halde gereklidir
ἐκ τῶν ἴσων ταῖς Α, Β, Γ	Α, Β ve Γ'ya eşit olanlardan
τρίγωνον συστήσασθαι.	bir üçgen inşa etmek.
Ἐκκείσθω	Oturtulsun
τις εὐθεῖα ἡ ΔΕ	bir ΔΕ doğrusu,
πεπερασμένη μὲν κατὰ τὸ Δ	Δ'da sınırlanmış,
ἄπειρος δὲ κατὰ τὸ Ε,	ama Ε'da sınırlanmamış,
καὶ κείσθω	ve otursun
τῇ μὲν Α ἴση ἡ ΔΖ,	Α'ya eşit ΔΖ,
τῇ δὲ Β ἴση ἡ ΖΗ,	Β'ya eşit ΖΗ,

[18] Heiberg'e göre [4], Proklus'un [12] ve Eutokios'un açıklamarının metinlerinde **δέ** yazılır; ama Öklid'in metinlerinde **δή** yazılır.

τῇ δὲ Γ ἴση ἡ ΗΘ·	ve Γ'ya eşit ΗΘ;
καὶ κέντρῳ μὲν τῷ Ζ,	ve Ζ merkezine
διαστήματι δὲ τῷ ΖΔ	ΖΔ uzaklığında
κύκλος γεγράφθω ὁ ΔΚΛ·	bir ΔΚΛ dairesi çizilmiş olsun;
πάλιν κέντρῳ μὲν τῷ Η,	yine, Η merkezine,
διαστήματι δὲ τῷ ΗΘ	ΗΘ uzaklığında,
κύκλος γεγράφθω ὁ ΚΛΘ,	ΚΛΘ dairesi çizilmiş olsun,
καὶ ἐπεζεύχθωσαν αἱ ΚΖ, ΚΗ·	ve ΚΖ ile ΚΗ birleştirilmiş olsun.
λέγω, ὅτι	Diyorum ki
ἐκ τριῶν εὐθειῶν	üç doğrudan
τῶν ἴσων ταῖς Α, Β, Γ	Α, Β ve Γ'ya eşit olan
τρίγωνον συνέσταται τὸ ΚΖΗ.	ΚΖΗ üçgeni inşa edilmiştir.
Ἐπεὶ γὰρ τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΔΚΛ κύκλου,	Zira, Ζ noktası, ΔΚΛ dairesinin merkezi olduğundan,
ἴση ἐστὶν ἡ ΖΔ τῇ ΖΚ·	ΖΔ, ΖΚ'ya eşittir;
ἀλλὰ ἡ ΖΔ τῇ Α ἐστιν ἴση.	ama ΖΔ, Α'ya eşittir.
καὶ ἡ ΚΖ ἄρα τῇ Α ἐστιν ἴση.	Ve ΚΖ böylece Α'ya eşittir.
πάλιν, ἐπεὶ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΛΚΘ κύκλου,	Yine, Η noktası, ΛΚΘ dairesinin merkezi olduğundan,
ἴση ἐστὶν ἡ ΗΘ τῇ ΗΚ·	ΗΘ, ΗΚ doğrusuna eşittir;
ἀλλὰ ἡ ΗΘ τῇ Γ ἐστιν ἴση·	ama ΗΘ, Γ'ya eşittir;
καὶ ἡ ΚΗ ἄρα τῇ Γ ἐστιν ἴση.	ve ΚΗ böylece Γ'ya eşittir.
ἐστὶ δὲ καὶ ἡ ΖΗ τῇ Β ἴση·	ve ΖΗ, Β doğrusuna eşittir;
αἱ τρεῖς ἄρα εὐθεῖαι	böylece üç doğru,
αἱ ΚΖ, ΖΗ, ΗΚ	ΚΖ, ΖΗ ve ΗΚ,
τρισὶ ταῖς Α, Β, Γ ἴσαι εἰσίν.	Α, Β ve Γ üçlüsüne eşittir.
Ἐκ τριῶν ἄρα εὐθειῶν	Böylece, üç doğrudan,
τῶν ΚΖ, ΖΗ, ΗΚ,	ΚΖ, ΖΗ ve ΗΚ'dan,
αἵ εἰσιν ἴσαι	eşit olan
τρισὶ ταῖς δοθείσαις εὐθείαις	verilmiş üç doğruya
ταῖς Α, Β, Γ,	Α, Β ve Γ'ya,
τρίγωνον συνέσταται τὸ ΚΖΗ·	bir ΚΖΗ üçgeni inşa edilmiştir;
ὅπερ ἔδει ποιῆσαι.	gösterilmesi gereken tam buydu.



23. Önerme

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ
καὶ τῷ πρὸς αὐτῇ σημείῳ
τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ ἴσην
γωνίαν εὐθύγραμμον συστήσασθαι.

Verilmiş bir doğruda,
ve üzerinde verilmiş noktada,
verilmiş düzkenar açıya eşit olan,
bir düzkenar açı inşa etmek.

Ἔστω
ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ,
τὸ δὲ πρὸς αὐτῇ σημεῖον τὸ Α,
ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος
ἡ ὑπὸ ΔΓΕ·

Olsun
verilmiş doğru ΑΒ,
ve üzerindeki nokta Α,
ve verilmiş düzkenar açı
ΔΓΕ.

δεῖ δὴ
πρὸς τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ
καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α
τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ ὑπὸ ΔΓΕ ἴσην
γωνίαν εὐθύγραμμον
συστήσασθαι.

O halde gereklidir,
verilmiş ΑΒ doğrusunda,
ve üzerindeki Α noktasında,
verilmiş düzkenar ΔΓΕ açısına eşit olan
bir düzkenar açı
inşa etmek.

Εἰλήφθω
ἐφ᾽ ἑκατέρας τῶν ΓΔ, ΓΕ
τυχόντα σημεῖα τὰ Δ, Ε,
καὶ ἐπεζεύχθω ἡ ΔΕ·
καὶ ἐκ τριῶν εὐθειῶν,
αἵ εἰσιν ἴσαι τρισὶ ταῖς ΓΔ, ΔΕ, ΓΕ,
τρίγωνον συνεστάτω τὸ ΑΖΗ,
ὥστε ἴσην εἶναι
τὴν μὲν ΓΔ τῇ ΑΖ,
τὴν δὲ ΓΕ τῇ ΑΗ,
καὶ ἔτι τὴν ΔΕ τῇ ΖΗ.

alınmış olsun
ΓΔ ve ΓΕ'un her birinden
rastgele Δ ve Ε noktaları,
ve ΔΕ birleştirilmiş olsun,
ve üç doğrudan
üç ΓΔ, ΔΕ ve ΓΕ'a eşit olan,
ΑΖΗ üçgeni inşa edilmiş olsun
öyle ki eşit olsun
ΓΔ, ΑΖ'ya,
ΓΕ, ΑΗ'ya,
ve ayrıca ΔΕ, ΖΗ'ya.

Ἐπεὶ οὖν δύο αἱ ΔΓ, ΓΕ
δύο ταῖς ΖΑ, ΑΗ ἴσαι εἰσὶν
ἑκατέρα ἑκατέρᾳ,
καὶ βάσις ἡ ΔΕ

Dolayısıyla ΔΓ ve ΓΕ ikilisi,
ΖΑ ve ΑΗ ikilisine eşit olduğundan,
her biri birine,
ve ΔΕ tabanı,

βάσει τῇ ΖΗ ἴσῃ,	ΖΗ tabanına eşit olduğundan,
γωνία ἄρα ἡ ὑπὸ ΔΓΕ γωνίᾳ	böylece ΔΓΕ açısı
τῇ ὑπὸ ΖΑΗ ἐστιν ἴση.	ΖΑΗ'ya eşittir.
Πρὸς ἄρα τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ	Böylece, verilmiş ΑΒ doğrusunda,
καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α	ve üzerindeki Α noktasında,
τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ ὑπὸ ΔΓΕ ἴσῃ	verilmiş düzkenar ΔΓΕ açısına eşit olan
γωνία εὐθύγραμμος συνέσταται ἡ ὑπὸ ΖΑΗ·	ΖΑΗ düzkenar açısı inşa edilmiştir;
ὅπερ ἔδει ποιῆσαι.	yapılması gereken tam buydu.



24. Önerme

Ἐὰν δύο τρίγωνα
τὰς δύο πλευρὰς
[ταῖς] δύο πλευραῖς ἴσας ἔχῃ
ἑκατέραν ἑκατέρᾳ,
τὴν δὲ γωνίαν
τῆς γωνίας μείζονα ἔχῃ
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν
περιεχομένην,
καὶ τὴν βάσιν
τῆς βάσεως μείζονα ἕξει.

Eğer iki üçgende
iki kenar
iki kenara eşitse,
her biri birine,
ama açı
açıdan büyükse,
[yani] eşit kenarlarca
rapteden,
taban da
tabandan büyük olacak.



Ἔστω
δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ
τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ
ταῖς δύο πλευραῖς ταῖς ΔΕ, ΔΖ
ἴσας ἔχοντα
ἑκατέραν ἑκατέρᾳ,
τὴν μὲν ΑΒ τῇ ΔΕ
τὴν δὲ ΑΓ τῇ ΔΖ,
ἡ δὲ πρὸς τῷ Α γωνία
τῆς πρὸς τῷ Δ γωνίας μείζων ἔστω·

Olsun
iki üçgen ΑΒΓ ve ΔΕΖ,
iki ΑΒ ve ΑΓ kenarı,
iki ΔΕ ve ΔΖ kenarına
eşit olan,
her biri birine,
ΑΒ, ΔΕ'a,
ve ΑΓ, ΔΖ'ya,
ve Α'daki açı,
Δ'daki açısından büyük olsun.

λέγω, ὅτι
καὶ βάσις ἡ ΒΓ
βάσεως τῆς ΕΖ μείζων ἐστίν.

Diyorum ki
ΒΓ tabanı da
ΕΖ tabanından büyüktür.

Ἐπεὶ γὰρ μείζων ἡ ὑπὸ ΒΑΓ γωνία
τῆς ὑπὸ ΕΔΖ γωνίας,
συνεστάτω
πρὸς τῇ ΔΕ εὐθείᾳ
καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Δ
τῇ ὑπὸ ΒΑΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΕΔΗ,
καὶ κείσθω
ὁποτέρᾳ τῶν ΑΓ, ΔΖ ἴση ἡ ΔΗ,
καὶ ἐπεζεύχθωσαν αἱ ΕΗ, ΖΗ.

Ἐπεὶ οὖν ἴση ἐστὶν
ἡ μὲν ΑΒ τῇ ΔΕ,
ἡ δὲ ΑΓ τῇ ΔΗ,
δύο δὴ αἱ ΒΑ, ΑΓ
δυσὶ ταῖς ΕΔ, ΔΗ ἴσαι εἰσὶν
ἑκατέρα ἑκατέρᾳ·
καὶ γωνία ἡ ὑπὸ ΒΑΓ
γωνίᾳ τῇ ὑπὸ ΕΔΗ ἴση·
βάσις ἄρα ἡ ΒΓ
βάσει τῇ ΕΗ ἐστιν ἴση.
πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΔΖ τῇ ΔΗ,
ἴση ἐστὶ καὶ
ἡ ὑπὸ ΔΗΖ γωνία τῇ ὑπὸ ΔΖΗ·
μείζων ἄρα
ἡ ὑπὸ ΔΖΗ τῆς ὑπὸ ΕΗΖ·
πολλῷ ἄρα μείζων ἐστὶν
ἡ ὑπὸ ΕΖΗ τῆς ὑπὸ ΕΗΖ.
καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΕΖΗ
μείζονα ἔχον
τὴν ὑπὸ ΕΖΗ γωνίαν τῆς ὑπὸ ΕΗΖ,
ὑπὸ δὲ τὴν μείζονα γωνίαν
ἡ μείζων πλευρὰ
ὑποτείνει,
μείζων ἄρα καὶ
πλευρὰ ἡ ΕΗ τῆς ΕΖ.
ἴση δὲ ἡ ΕΗ τῇ ΒΓ·
μείζων ἄρα καὶ ἡ ΒΓ τῆς ΕΖ.

Zira ΒΑΓ açısı, büyük olduğundan
ΕΔΖ açısından,
inşa edilmiş olsun
ΔΕ doğrusunda,
ve üzerindeki Δ noktasında,
ΒΑΓ açısına eşit olan ΕΔΗ,
ve oturmuş olsun
ΑΓ veya ΔΖ'ya eşit olan ΔΗ,
ve ΕΗ ve ΖΗ birleştirilmiş olsun.

Dolayısıyla eşit olduğundan
ΑΒ, ΔΕ'a,
ve ΑΓ, ΔΗ'ya,
o halde ΒΑ ve ΑΓ ikilisi,
ΕΔ ve ΔΗ iklisine eşittir,
her biri birine;
ve ΒΑΓ açısı
ΕΔΗ açısına eşittir;
böylece ΒΓ tabanı
ΕΗ tabanına eşittir.
Yine, ΔΖ, ΔΗ'ya eşit olduğundan,
bir de eşittir
ΔΗΖ açısı, ΔΖΗ'ya;
böylece büyüktür
ΔΖΗ, ΕΗΖ'dan;
böylece çok daha büyüktür
ΕΖΗ, ΕΗΖ açısından.
Ve ΕΖΗ üçgende,
büyük olduğundan
ΕΖΗ açısı ΕΗΖ'dan,
ve daha büyük açı,
daha büyük açı tarafından
raptedildiğinden,
böylece büyüktür
ΕΗ kenarı da ΕΖ'dan.
Ve ΕΗ, ΒΓ'ya eşittir;
böylece ΒΓ da, ΕΖ'dan büyüktür.

Ἐὰν ἄρα δύο τρίγωνα	Eğer, böylece, iki üçgende
τὰς δύο πλευρὰς	iki kenar
δυσὶ πλευραῖς ἴσας ἔχῃ	iki kenara eşitse
ἑκατέραν ἑκατέρᾳ,	her biri birine,
τὴν δὲ γωνίαν	ama açı
τῆς γωνίας μείζονα ἔχῃ	açıdan büyükse,
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν	[yani] eşit kenarlarca
περιεχομένην,	rapteden,
καὶ τὴν βάσιν	taban da
τῆς βάσεως μείζονα ἕξει·	tabandan büyük olacak;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



25. Önerme

Ἐὰν δύο τρίγωνα	Eğer iki üçgende
τὰς δύο πλευρὰς	iki kenar
δυσὶ πλευραῖς ἴσας ἔχῃ	iki kenara eşitse
ἑκατέραν ἑκατέρᾳ,	her biri birine,
τὴν δὲ βάσιν	ama taban
τῆς βάσεως μείζονα ἔχῃ,	tabandan büyükse,
καὶ τὴν γωνίαν	açı da
τῆς γωνίας μείζονα ἕξει	açıdan büyük olacak
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν	[yani] eşit doğrularca
περιεχομένην.	rapteden.
Ἔστω	Olsun
δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ	iki üçgen ΑΒΓ ve ΔΕΖ,
τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ	iki ΑΒ ve ΑΓ kenarı,
ταῖς δύο πλευραῖς ταῖς ΔΕ, ΔΖ	iki ΔΕ ve ΔΖ kenarına
ἴσας ἔχοντα	eşit olan,
ἑκατέραν ἑκατέρᾳ,	her biri birine,
τὴν μὲν ΑΒ τῇ ΔΕ,	ΑΒ, ΔΕ'a
τὴν δὲ ΑΓ τῇ ΔΖ·	ve ΑΓ, ΔΖ'ya;
βάσις δὲ ἡ ΒΓ	ve ΒΓ tabanı
βάσεως τῆς ΕΖ μείζων ἔστω·	ΕΖ tabanından büyük olsun.
λέγω, ὅτι	Diyorum ki
καὶ γωνία ἡ ὑπὸ ΒΑΓ	ΒΑΓ açısı da
γωνίας τῆς ὑπὸ ΕΔΖ μείζων ἐστίν.	ΕΔΖ açısından büyüktür.
Εἰ γὰρ μή,	Zira eğer değilse,
ἤτοι ἴση ἐστὶν αὐτῇ ἢ ἐλάσσων·	ya ona eşittir, ya da ondan küçük;
ἴση μὲν οὖν οὐκ ἔστιν	ama dolayısıyla eşit değildir
ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ·	ΒΑΓ, ΕΔΖ'ya;
ἴση γὰρ ἂν ἦν	zira eğer eşit ise
καὶ βάσις ἡ ΒΓ βάσει τῇ ΕΖ·	ΒΓ tabanı da, ΕΖ tabanına [eşittir];
οὐκ ἔστι δέ.	ama değil.
οὐκ ἄρα ἴση ἐστὶ	Böylece eşit değildir
γωνία ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ·	ΒΑΓ açısı, ΕΔΖ'ya;

οὐδὲ μὴν ἐλάσσων ἐστὶν	tabii ki küçük değildir
ἡ ὑπὸ ΒΑΓ τῆς ὑπὸ ΕΔΖ·	ΒΑΓ, ΕΔΖ'dan;
ἐλάσσων γὰρ ἂν ἦν	zira eğer küçük ise,
καὶ βάσις ἡ ΒΓ βάσεως τῆς ΕΖ·	ΒΓ tabanı da, ΕΖ tabanından [küçüktür];
οὐκ ἔστι δέ·	ama değil;
οὐκ ἄρα ἐλάσσων ἐστὶν	böylece küçük değildir
ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ.	ΒΑΓ, ΕΔΖ'dan.
ἐδείχθη δέ, ὅτι	Ama gösterilmişti ki
οὐδὲ ἴση·	eşit değildir;
μείζων ἄρα ἐστὶν	böylece büyüktür
ἡ ὑπὸ ΒΑΓ τῆς ὑπὸ ΕΔΖ.	ΒΑΓ, ΕΔΖ'dan.
Ἐὰν ἄρα δύο τρίγωνα	Eğer, böylece, iki üçgende
τὰς δύο πλευρὰς	iki kenar
δυσὶ πλευραῖς ἴσας ἔχῃ	iki kenara eşitse
ἑκατέραν ἑκατέρᾳ,	her biri birine,
τὴν δὲ βασίν	ama taban
τῆς βάσεως μείζονα ἔχῃ,	tabandan büyükse,
καὶ τὴν γωνίαν	açı da
τῆς γωνίας μείζονα ἕξει	açıdan büyük olacak
τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν	[yani] eşit doğrularca
περιεχομένην·	rapteden;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



26. Önerme

Ἐὰν δύο τρίγωνα	Eğer iki üçgenin
τὰς δύο γωνίας	iki açısı,
δυσὶ γωνίαις ἴσας ἔχῃ	iki açısına eşitse,
ἑκατέραν ἑκατέρᾳ	her biri birine,
καὶ μίαν πλευρὰν	ve bir kenar,
μιᾷ πλευρᾷ ἴσην	bir kenara eşitse,
ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις	ya eşit açıların arasında olan
ἢ τὴν ὑποτείνουσαν	ya da karşılayan
ὑπὸ μίαν τῶν ἴσων γωνιῶν,	eşit açılardan birini,
καὶ τὰς λοιπὰς πλευρὰς	kalan kenarları da
ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει	kalan kenarlarına eşit olacak,
καὶ τὴν λοιπὴν γωνίαν	kalan açıları da
τῇ λοιπῇ γωνίᾳ.	kalan açılarına.



Ἔστω	Olsun
δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ	iki üçgen ΑΒΓ ve ΔΕΖ,
τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ	iki ΑΒΓ ve ΒΓΑ açıları
δυσὶ ταῖς ὑπὸ ΔΕΖ, ΕΖΔ	iki ΔΕΖ ve ΕΖΔ'ya
ἴσας ἔχοντα	eşit olan,
ἑκατέραν ἑκατέρᾳ,	her biri birine,
τὴν μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ,	ΑΒΓ, ΔΕΖ'ya
τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΕΖΔ·	ve ΒΓΑ, ΕΖΔ'ya;
ἐχέτω δὲ	ayrıca olsun
καὶ μίαν πλευρὰν	bir kenarı da
μιᾷ πλευρᾷ ἴσην,	bir kenarına eşit,
πρότερον τὴν πρὸς ταῖς ἴσαις γωνίαις	önce, esit açıların arasında olan,

τὴν ΒΓ τῇ ΕΖ·	ΒΓ, ΕΖ’ya.
λέγω, ὅτι	Diyorum ki
καὶ τὰς λοιπὰς πλευρὰς	kalan kenarlar da
ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει	kalan kenarlara eşit olacaklar,
ἑκατέραν ἑκατέρᾳ,	her biri birine,
τὴν μὲν ΑΒ τῇ ΔΕ	ΑΒ, ΔΕ’a
τὴν δὲ ΑΓ τῇ ΔΖ,	ve ΑΓ, ΔΖ’ya,
καὶ τὴν λοιπὴν γωνίαν	ve kalan açı
τῇ λοιπῇ γωνίᾳ,	kalan açıya,
τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.	ΒΑΓ, ΕΔΖ’ya.
Εἰ γὰρ ἄνισός ἐστιν	Zira eğer eşit değilse,
ἡ ΑΒ τῇ ΔΕ,	ΑΒ, ΔΕ kenarına,
μία αὐτῶν μείζων ἐστίν.	biri daha büyüktür.
ἔστω μείζων ἡ ΑΒ,	ΑΒ daha büyük olsun,
καὶ κείσθω	ve oturmuş olsun
τῇ ΔΕ ἴση ἡ ΒΗ,	ΔΕ’a eşit olan ΒΗ,
καὶ ἐπεζεύχθω ἡ ΗΓ.	ve ΗΓ birleştirilmiş olsun.
Ἐπεὶ οὖν ἴση ἐστὶν	Dolayısıyla eşit olduğundan
ἡ μὲν ΒΗ τῇ ΔΕ,	ΒΗ, ΔΕ’a
ἡ δὲ ΒΓ τῇ ΕΖ,	ve ΒΓ, ΕΖ’ya,
δύο δὴ αἱ ΒΗ, ΒΓ	o halde ΒΗ ve ΒΓ ikilisi
δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν	ΔΕ ve ΕΖ ikilisine eşittir,
ἑκατέρα ἑκατέρᾳ·	her biri birine,
καὶ γωνία ἡ ὑπὸ ΗΒΓ	ve ΗΒΓ açısı
γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἴση ἐστίν·	ΔΕΖ açısına eşittir;
βάσις ἄρα ἡ ΗΓ	böylece ΗΓ tabanı
βάσει τῇ ΔΖ ἴση ἐστίν,	ΔΖ tabanına eşittir,
καὶ τὸ ΗΒΓ τρίγωνον	ve ΗΒΓ üçgeni
τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστίν,	ΔΕΖ üçgenine eşittir,
καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται,	kalan açılara eşit olacaklar
ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν·	eşit kenarlar raptettiği.
ἴση ἄρα ἡ ὑπὸ ΗΓΒ γωνία	Böylece ΒΓΗ açısı eşittir
τῇ ὑπὸ ΔΖΕ.	ΔΖΕ’a.
ἀλλὰ ἡ ὑπὸ ΔΖΕ	Ama ΔΖΕ,

τῇ ὑπὸ ΒΓΑ ὑπόκειται ἴση·	ΒΓΑ'ya eşit kabul edilir,
καὶ ἡ ὑπὸ ΒΓΗ ἄρα	böylece ΒΓΗ de
τῇ ὑπὸ ΒΓΑ ἴση ἐστίν,	ΒΓΑ açısına eşittir,
ἡ ἐλάσσων τῇ μείζονι·	daha küçük olan daha büyük olana,
ὅπερ ἀδύνατον.	ki bu imkânsızdır.
οὐκ ἄρα ἄνισός ἐστιν	Böylece eşit değil değildir,
ἡ ΑΒ τῇ ΔΕ.	ΑΒ, ΔΕ kenarına.
ἴση ἄρα.	Böylece eşittir.
ἔστι δὲ καὶ	Ve durum şöyledir;
ἡ ΒΓ τῇ ΕΖ ἴση·	ΒΓ, ΕΖ kenarına eşittir;
δύο δὴ αἱ ΑΒ, ΒΓ	o halde ΑΒ ve ΒΓ ikilisi
δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν	ΔΕ ve ΕΖ ikilisine eşittir,
ἑκατέρα ἑκατέρᾳ·	her biri birine;
καὶ γωνία ἡ ὑπὸ ΑΒΓ	ΑΒΓ açısı da
γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση·	ΔΕΖ açısına eşittir;
βάσις ἄρα ἡ ΑΓ	böylece ΑΓ tabanı
βάσει τῇ ΔΖ ἴση ἐστίν,	ΔΖ tabanına eşittir,
καὶ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ	ve kalan ΒΑΓ açısı
τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ	kalan ΕΔΖ açısına
ἴση ἐστίν.	eşittir.





ἀλλὰ δὴ πάλιν ἔστωσαν	Ama o halde yine olsun
αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραὶ ὑποτείνουσαι ἴσαι,	eşit açıları rapteden kenarlar eşit,
ὡς ἡ ΑΒ τῇ ΔΕ·	ΑΒ, ΔΕ kenarına gibi;
λέγω πάλιν, ὅτι	Yine diyorum ki
καὶ αἱ λοιπαὶ πλευραὶ	kalan kenarlar da
ταῖς λοιπαῖς πλευραῖς ἴσαι ἔσονται,	kalan kenarlara eşit olacaklar,
ἡ μὲν ΑΓ τῇ ΔΖ,	ΑΓ, ΔΖ kenarına

ἡ δὲ ΒΓ τῇ ΕΖ	ve ΒΓ, ΕΖ kenarına
καὶ ἔτι ἡ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ	ve kalan ΒΑΓ açısı da
τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ	kalan ΕΔΖ açısına
ἴση ἐστίν.	eşittir.
Εἰ γὰρ ἄνισός ἐστιν	Zira eğer eşit değil ise,
ἡ ΒΓ τῇ ΕΖ,	ΒΓ, ΕΖ kenarına,
μία αὐτῶν μείζων ἐστίν.	biri daha büyüktür.
ἔστω μείζων, εἰ δυνατόν, ἡ ΒΓ,	Mümkünse, ΒΓ daha büyük olsun,
καὶ κείσθω	ve oturmuş olsun
τῇ ΕΖ ἴση ἡ ΒΘ,	ΕΖ'ya eşit olan ΒΘ,
καὶ ἐπεζεύχθω ἡ ΑΘ.	ve ΑΘ birleştirilmiş olsun.
καὶ ἐπὲι ἴση ἐστὶν	Ayrıca eşit olduğundan
ἡ μὲν ΒΘ τῇ ΕΖ	ΒΘ, ΕΖ kenarına,
ἡ δὲ ΑΒ τῇ ΔΕ,	ve ΑΒ, ΔΕ kenarına,
δύο δὴ αἱ ΑΒ, ΒΘ	o halde ΑΒ ve ΒΘ ikilisi,
δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν	ΔΕ ve ΕΖ ikilisine eşittir,
ἑκατέρα ἑκαρέρᾳ·	her biri birine;
καὶ γωνίας ἴσας περιέχουσιν·	ve eşit açıları içerirler,
βάσις ἄρα ἡ ΑΘ	böylece ΑΘ tabanı
βάσει τῇ ΔΖ ἴση ἐστίν,	ΔΖ tabanına eşittir,
καὶ τὸ ΑΒΘ τρίγωνον	ve ΑΒΘ üçgeni
τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστίν,	ΔΕΖ üçgenine eşittir,
καὶ αἱ λοιπαὶ γωνίαι	ve kalan açılar
ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται,	kalan açılara eşit olacak,
ὑφ᾽ ἃς αἱ ἴσας πλευραὶ ὑποτείνουσιν·	eşit kenarların raptettiği.
ἴση ἄρα ἐστὶν	Böylece eşittir
ἡ ὑπὸ ΒΘΑ γωνία τῇ ὑπὸ ΕΖΔ.	ΒΘΑ açısı, ΕΖΔ açısına.
ἀλλὰ ἡ ὑπὸ ΕΖΔ	Ama ΕΖΔ,
τῇ ὑπὸ ΒΓΑ ἐστιν ἴση·	ΒΓΑ açısına eşittir;
τριγώνου δὴ τοῦ ΑΘΓ	o halde ΑΘΓ üçgeninin
ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΘΑ ἴση ἐστὶ	ΒΘΑ dış açısı eşittir
τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΒΓΑ·	iç ve karşıt ΒΓΑ açısına;
ὅπερ ἀδύνατον.	ki bu imkânsızdır.
οὐκ ἄρα ἄνισός ἐστιν	Böylece eşit değil değildir
ἡ ΒΓ τῇ ΕΖ·	ΒΓ, ΕΖ'ya;
ἴση ἄρα.	böylece eşittir.
ἐστὶ δὲ καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση.	Ve tekrar ΑΒ, ΔΕ kenarına eşittir.

δύο δὴ αἱ ΑΒ, ΒΓ
δύο ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν
ἑκατέρα ἑκατέρᾳ·
καὶ γωνίας ἴσας περιέχουσι·
βάσις ἄρα ἡ ΑΓ
βάσει τῇ ΔΖ ἴση ἐστίν,
καὶ τὸ ΑΒΓ τρίγωνον
τῷ ΔΕΖ τριγώνῳ ἴσον
καὶ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ
τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση.

O halde ΑΒ ve ΒΓ ikilisi
ΔΕ ve ΕΖ ikilisine eşittir,
her biri birine;
ve eşit açılar içerirler;
böylece ΑΓ tabanı
ΔΖ tabanına eşittir,
ve ΑΒΓ üçgeni
ΔΕΖ üçgenine eşittir,
ve kalan ΒΑΓ açısı
kalan ΕΔΖ açısına eşittir.

Ἐὰν ἄρα δύο τρίγωνα
τὰς δύο γωνίας
δυσὶ γωνίαις ἴσας ἔχῃ
ἑκατέραν ἑκατέρᾳ
καὶ μίαν πλευρὰν
μιᾷ πλευρᾷ ἴσην
ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις,
ἢ τὴν ὑποτείνουσαν
ὑπὸ μίαν τῶν ἴσων γωνιῶν,
καὶ τὰς λοιπὰς πλευρὰς
ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει
καὶ τὴν λοιπὴν γωνίαν
τῇ λοιπῇ γωνίᾳ·
ὅπερ ἔδει δεῖξαι.

Eğer, böylece, iki üçgenin
iki açısı
iki açısına eşitse,
her biri birine,
ve bir kenar
bir kenara eşitse,
ya eşit açıların arasında olan
ya da rapteden
eşit açıların birini;
kalan kenarları da
kalan kenarlarına eşit olacak,
kalan açıları da
kalan açılarına;
gösterilmesi gereken tam buydu.



27. Önerme

Ἐὰν εἰς δύο εὐθείας	Eğer iki doğrunun üzerine
εὐθεῖα ἐμπίπτουσα	düşen bir doğru,
τὰς ἐναλλὰξ γωνίας	ters açıları
ἴσας ἀλλήλαις ποιῇ,	birbirine eşit yaparsa,
παράλληλοι ἔσονται ἀλλήλαις	birbirine paralel olacak
αἱ εὐθεῖαι.	doğrular.
Εἰς γὰρ δύο εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπίπτουσα ἡ ΕΖ	Zira iki ΑΒ ve ΓΔ doğrularının üzerine düşen ΕΖ,
τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΑΕΖ, ΕΖΔ	ters ΑΕΖ ve ΕΖΔ açılarını
ἴσας ἀλλήλαις ποιείτω·	birbirine eşit yapsın.
λέγω, ὅτι	Diyorum ki
παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.	ΑΒ, ΓΔ'ya paraleldir.
Εἰ γὰρ μή,	Zira eğer değilse,
ἐκβαλλόμεναι	uzatılan,
αἱ ΑΒ, ΓΔ συμπεσοῦνται	ΑΒ ve ΓΔ çarpışacak,
ἤτοι ἐπὶ τὰ Β, Δ μέρη	ya Β ve Δ kenarında,
ἢ ἐπὶ τὰ Α, Γ.	ya da Α ve Γ kenarında.
ἐκβεβλήσθωσαν	Uzatılmış olsun,
καὶ συμπιπτέτωσαν	ve çarpışşın
ἐπὶ τὰ Β, Δ μέρη κατὰ τὸ Η.	Β ve Δ tarafında, Η'da.
τριγώνου δὴ τοῦ ΗΕΖ	ΗΕΖ üçgeninin
ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΕΖ ἴση ἐστὶ	ΑΕΖ dış açısı, eşittir
τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΕΖΗ·	iç ve karşıt ΕΖΗ'ya;
ὅπερ ἐστὶν ἀδύνατον·	ki bu imkânsızdır.
οὐκ ἄρα	Böylece şöyle değildir:
αἱ ΑΒ, ΔΓ ἐκβαλλόμεναι	ΑΒ ve ΓΔ, uzatılmış,
συμπεσοῦνται ἐπὶ τὰ Β, Δ μέρη.	Β ve Δ tarafında çarpışacak.
ὁμοίως δὴ δειχθήσεται, ὅτι	Benzer şekilde o halde gösterilecek ki
οὐδὲ ἐπὶ τὰ Α, Γ·	Α ve Γ tarafında da değil.
αἱ δὲ ἐπὶ μηδέτερα τὰ μέρη	Hiçbir tarafta
συμπίπτουσαι	çarpışanlar,

παράλληλοί εἰσιν·	paraleldir;
παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.	böylece ΑΒ, ΓΔ'ya paraleldir.

Ἐὰν ἄρα εἰς δύο εὐθείας	Eğer, böylece, iki doğru üzerine
εὐθεῖα ἐμπίπτουσα	düşen bir doğru
τὰς ἐναλλὰξ γωνίας	ters açıları
ἴσας ἀλλήλαις ποιῇ,	birbirine eşit yaparsa
παράλληλοι ἔσονται	birbirine paralel olacak
αἱ εὐθεῖαι·	doğrular;
ὅπερ ἔδει δεῖξαι.	gösterilmesi gereken tam buydu.



28. Önerme

Ἐὰν εἰς δύο εὐθείας	Eğer iki doğru üzerine
εὐθεῖα ἐμπίπτουσα	düşen bir doğru,
τὴν ἐκτὸς γωνίαν	dış açıyı,
τῇ ἐντὸς καὶ ἀπεναντίον	iç ve karşıt
καὶ ἐπὶ τὰ αὐτὰ μέρη	ve aynı tarafta [kalan] açıya
ἴσην ποιῇ	eşit yaparsa,
ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη	veya iç ve aynı tarafta [kalanları]
δυσὶν ὀρθαῖς ἴσας,	iki dik açıya eşit,
παράλληλοι ἔσονται ἀλλήλαις	birbirine paralel olacak
αἱ εὐθεῖαι.	doğrular.
